DE UNIVERSO

ET DE ANIMA HOMINIS

DOCTRINA GREGORII NYSSENI.

DISSERTATIO

INAUGURALIS HISTORICA

QUAM

CONSENSU ET AUCTORITATE

AMPLISSIMI PHILOSOPHORUM ORDINIS

IN

UNIVERSITATE LITTERARUM

GEORGIA AUGUSTA LIPSIENSI

PRO

SUMMIS IN PHILOSOPHIA HONORIBUS

RITE CAPESSENDIS


SCRIPSIT

IOHANNES C. BERGADES

EPIROTA.

LIPSIAE.

MDCCCXXV.



ΙΩΑΝΝΟΥ Κ. ΒΕΡΓΑΔΟΥ

Η ΠΕΡΙ ΤΟΥ ΣΥΜΠΑΝΤΟΣ

ΚΑΙ

ΤΗΣ ΨΥΧΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

ΔΙΔΑΣΚΑΛΙΑ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ *ΝΥΣΣΗΣ.*

ΠΗΓΑΙ.

Ἐν τῇ παρούσῃ πραγματείᾳ ἐκδόσει μὲν ἐχρησάμεθα τῇ δευτέρᾳ ἐν Παρισίοις γενομένῃ ὑπὸ Αἰγιδίου Μορέλλου ἐν ἔτει σωτηρίῳ 1638 ἐν τρισὶ τόμοις. Τῶν δὲ περὶ ψυχῆς καὶ ἀναστάσεως καὶ τοῦ κατηχητικοῦ λόγου ὑπὸ Ι. Γ. Κραβιγγέρου μετὰ πολλῆς τῆς ἐπιμελείας ἐν ἰδιαιτέροις βιβλίοις ἐκδεδομένων τῷ 1837 καὶ 1838 ἐν Μονάχῳ, καὶ τῶν ἀντιρρητικῶν πρὸς Εὐνόμιον λόγων ὑπὸ F. Oehler τῷ 1865 ἐν Χάλλῃ εἰς φῶς ἐλθόντων, ἐντεῦθεν τὰς γραφὰς παραλαμβάνοντες ὡς ὀρθοτέρας, παραπέμπομεν εἰς τὴν τοῦ Μορέλλου ἔκδοσιν. Καὶ δὴ διὰ μὲν τῶν προτασσομένων κεφαλαίων τοῦ ἑλληνικοῦ ἀλφαβήτου γραμμάτων σημειοῦμεν τοὺς τόμους, δι' ἀραβικῶν δὲ ἀριθμῶν τὰς σελίδας. Τοῦτο δὲ ποιοῦμεν τοῖς πρὸ ἡμῶν περὶ Γρηγορίου τοῦ Νύσσης συγγράψασιν ἑπόμενοι.

Εἰσὶ δ' οἱ περὶ τούτου συγγράψαντες οὐ πολλοί· οἱ γὰρ περὶ τὴν ἱστορίαν τῆς καθόλου φιλοσοφίας ἀσχολούμενοι εἰκότως καὶ τοῦ Γρηγορίου ὡς ἐν παρόδῳ μνείαν ποιοῦνται μαθητὴν τοῦ Ὠριγένους αὐτὸν ὑπολαμβάνοντες (Ueberweg Geschichte der Philosophie, Band II Berlin 1868 σελ. 70)· διὰ δὲ δὴ τὸν ἄρτι ῥηθέντα λόγον καὶ οἱ τὴν ἱστορίαν τῆς φιλοσοφίας τῶν

Πατέρων ἰδίᾳ ἐκδόντες τὴν διδασκαλίαν τοῦ Γρηγορίου οὐ πάνυ τι διὰ μακρῶν διέλαβον· ἔπιθι Alb. Stöckl Geschichte der Philosophie der Patristischen Zeit, Würzburg 1859. Huber die Philosophie der Kirchenväter München 1859. H. Ritter die christliche Philosophie Göttingen 1858. Band I. Ἰδιαιτέρας δὲ περὶ Γρηγορίου τοῦ Νύσσης πραγματείας ἡμεῖς γε γινώσκομεν τὰς ἑξῆς:

Rupp, Gregors des Bischofs von Nyssa Leben und Meinungen. Leipzig 1834. E. G. Möller, Gregorii Nysseni Doctrina de hominis natura — Hallis 1854. J. Stigler, die Psychologie des heiligen Gregor von Nyssa. Regensburg 1857.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ περὶ τοῦ σύμπαντος Θεωρία.

§ 1. *Θεωρία περὶ Θεοῦ.*

Ἐξ ἀνθρωπίνων λογισμῶν, φησὶν ὁ Γρηγόριος, ὅπως ὁ Θεὸς πέφυκεν, ἢ τίνα οὐσίαν ἔχει εἰκάσαι ἀδύνατον· περὶ γὰρ ταύτην ἐστὶν ἀκαταληψία καὶ ἀσάφεια καὶ ἀδηλία· τὸ δ' ἰδιαίτατον γνώρισμά ἐστι τὸ παντὸς χαρακτηριστικοῦ νοήματος ὑψηλοτέραν εἶναι τὴν φύσιν. (1) Ἀλλ' ὅμως διὰ τοῦτο καὶ μὴ εἶναι Θεὸν οὔ φαμεν· βεβαιούμεθα γὰρ περὶ τῆς ὑπάρξεως τοῦ ὑπερτάτου τούτου ὄντος ἐκ τῶν ἐνθεωρουμένων τῇ φαινομένῃ κτίσει ἐνερ-

---

(1) Α, 784. 813 221. Γ. 13 478. πρβλ. Πλωτ. ἐνν. ς'. 5.6.

γημάτων χρώμενοι τῇ ἐπινοίᾳ. (1) Ἡ δὲ τῆς ὑπάρξεως τοῦ Θεοῦ ἔννοια οὐ τελεία ἐφ' ἅπαξ ἀλλὰ κατὰ πρόοδον ἐγένετο· συνέβη γὰρ τῷ πεσόντι ἀνθρώπῳ ὅ,τί περ καὶ νῦν ἐν τῷ νηπίῳ ἐστὶν ἰδεῖν. Ὥσπερ γὰρ ἐν τούτῳ τὸν λόγον καὶ τὸν νοῦν δυνάμει ἐν ἑαυτῇ ἔχουσα ἡ ψυχὴ ἐμφανίζεται πρῶτον, εἶτα δὲ προκόπτοντος καὶ αὔξοντος τοῦ σώματος ὅ τε λόγος γεννᾶται καὶ τοῦ νοὸς ἡ παρουσία δηλοῦται, οὕτω καὶ τῷ ὥσπερ ἐν γαστρί τινι τῆς πλάνης ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου διατελοῦντι ἀνθρώπῳ τῇ τοῦ νόμου μὲν χειραγωγίᾳ εἰς φῶς θεογνωσίας ἐλθόντι ἐμφανίζεται ὁ Θεὸς καὶ πατὴρ ἐνούσιον ἐν ἑαυτῷ ἔχων τὸν λόγον καὶ τῷ πνεῦμα· οὗ γενομένου ἡ τοῦ ἀνθρώπου φύσις διδασκομένη ὑπὸ Θεοῦ σοφίζεται ἀμυδρῶς ἐπιγινώσκειν τὴν ἐπιφάνειαν τοῦ ἀποκρύφου τοῦ πατρὸς λόγου καὶ δεξαμένη τὸ ἅγιον πνεῦμα γνωρίζει τῆς θεότητος τὸ ἐντελὲς πλήρωμα. (2) Καί τοι δὲ τὰ ὀνόματα πατὴρ, υἱὸς (λόγος) καὶ πνεῦμα τὸ πλήρωμα τῆς θεότητος παριστᾷ τὴν ταύτης οὐσίαν ἡμᾶς οὐ διδάσκει· ἡ γὰρ ἀόριστος φύσις ὀνόματι περιληφθῆναι φύσιν οὐκ ἔχει· διὸ καὶ τῆς γραφῆς ἡ θεολογία μεγάλα καὶ ὑψηλὰ ἐκφρασθεῖσα τοῦ ἀληθινοῦ οὐ προσάπτεται· ὁ δὲ θεόπνευστος Παῦλος πᾶν τὸ ἀνθρωπίνῃ δυνάμει χωρητὸν κατανοήσας ἀνέφικτον καὶ ἀπερίληπτον ἀνθρωπίνοις λογισμοῖς τὸν τῆς ὑπερκειμένης οὐσίας λό-

---

(1) Β. 24. 26. Γ. 330. 331. πρὸς Εὐν. 631. περὶ ψυχ. καὶ ἀν. 188. λόγ. κατ. 44. 67.

(2) Α. 814. Β. 28. 30. 82. 83. πρβλ. Rupp. σελ. 136.

γον εἶναι ἀπεφήνατο. (1) Ἐντεῦθεν ὁ Γρηγόριός φησι δεῖν σιγᾷν ὅταν περὶ τῆς θείας φύσεως ὁ λόγος· λαλεῖν δ' ὅταν περὶ τῶν ταύτης ἐνεργημάτων· καὶ γὰρ ταῦτα τὴν ὕλην τῶν θεολογικῶν ὀνομάτων ποιεῖ. (2) Ἐντεῦθεν δῆλον γίνεται ὅτι πᾶν ὄνομα εἴτ' οὖν παρὰ τῶν ἁγίων γραφῶν ἡμῖν παραδεδομένον, εἴτ' ἐκ τῆς ἡμετέρας ἐπινοίας ἐξευρημένον, οὐκ οὐσίαν δηλοῖ, ἀλλ' ἤ ὅ,τι ὁ Θεὸς οὐκ ἔστιν, ἤ τι τῶν περὶ τὴν θεότητα, ἢ ποιότητα, ἢ ἰδιότητα ἢ ἐνέργειαν· πολλῶν δ' ὄντων τούτων πολυώνυμον ἡμῖν καὶ τὸ θεῖον γίνεται. (3) Ἀλλ' ἐπεὶ τὸ πάντ' ἐποπτεύειν καὶ πάντα θεᾶσθαι καὶ διὰ πάντων ἥκειν ἰδίωμά ἐστι τῆς θείας φύσεως τὸ κυριώτατον, τὸ ἐκ τοῦ θεᾶσθαι παραγόμενον ὄνομα Θεὸς ἐπὶ τῆς θείας λεγόμενον φύσεως εἰκότως, φησὶν ὁ Γρηγόριος, καὶ τὴν οὐσίαν παραδηλοῖ. (4)

---

(1) Α. 813. Ἡ θεία φύσις αὐτὴ καθ' ἑαυτὴν ὅ,τί ποτε κατ' οὐσίαν ἐστὶ πάσης ὑπέρκειται καταληπτικῆς ἐπινοίας ἀπρόσιτος καὶ ἀπροσπέλαστος οὖσα ταῖς στοχαστικαῖς ἐπινοίαις καὶ οὔπω τις ἀνθρώποις πρὸς τὴν τῶν ἐκλήπτων κατανόησιν ἐξεύρηται δύναμις, οὐδέ τις ἔφοδος καταληπτικὴ τῶν ἀμηχάνων ἐπενοήθη. Πρὸς Εὐν. 519. 626. Γ. 478. Α. 221. Γ. 142. 628. πρβλ. Πλωτ. ἐνν. ἑ. 5, 6. 3, 13.

(2) Ἐν τοῖς περὶ τοῦ Θεοῦ λόγοις ὅταν περὶ τῆς οὐσίας ἡ ζήτησις ἦν, καιρὸς τοῦ σιγᾷν· ὅταν δὲ περί τινος ἀγαθῆς ἐνεργείας, ἧς ἡ γνῶσις καὶ μέχρις ἡμῶν καταβαίνει, τότε λαλεῖν τὰς δυνάμεις... Α. 452. 485 486. Γ. 18. 19. 284.

(3) Γ. 19. πρὸς Εὐν. 626. 673. Γ. 283. 284. Β. 427. 616.

(4) Πρὸς Εὐν. 855. Β. 26. Γ. 13.

Ἔστι δὲ ὁ Θεὸς οὐσία μία, ὁ ὄντως ὤν, ἀναίτιος, ἄναρχος καὶ τοῦ παντὸς ἀρχή, ἁπλοῦς, ἀσώματος καὶ ἄφθαρτος· μὴ προσπίπτων δὲ ταῖς αἰσθήσεσι νοητὴ καὶ ἀεὶ ὡσαύτως ἔχουσα φύσις καὶ πνεῦμα· ἔτι δὲ τὸ πρῶτον ἀγαθὸν καὶ ἀγαθῶν τὸ πλήρωμα· ἀνενδεὴς καὶ τοῦ παντὸς πλήρωμα· διὰ δὲ δὴ ταῦτα μακάριος καὶ ἀκήρατος ζωή. (1) Οὕτω δὲ τὸν Θεὸν ὁριζόμενος ὁ Γρηγόριος οὔ φησιν αὐτὸν τελείως, ἀλλ' ἐν ὁμοιώματι καταλαμβάνειν· οὔτε γὰρ αὐτὸ τὸ εἶδος νοοῦμέν, φησι, καὶ τὸ ὑπολειπόμενον ἀπειροπλάσιον τοῦ εὑρισκομένου· κατὰ γὰρ τὴν ἀναλογίαν τῆς δυνάμεως αὐτοῦ νοεῖ τὸ θεῖον ἕκαστος. (2)

§. 2. *Θεωρία περὶ τῶν φαινομένων.*

Τὸ μὲν τὸν Θεὸν μή τι τῶν ἐν τῇ φαινομένῃ κτίσει, ἀλλὰ ταύτης δημιουργὸν εἶναι, ἥτε καθόλου ἐκκλησία ἐδογμάτισε καὶ ὁ Γρηγόριος συνομολογεῖ· τὸν δὲ τρόπον τῆς τοῦ κόσμου δημιουργίας, ἀόριστον ἔτι ὄντα, οἷον ὁ Γρηγόριος ἐγγυμνάζων, ὡς φησιν, ἑαυτοῦ τὴν διάνοιαν, ὑποτίθεται ἐν τοῖς ἑξῆς ὀψόμεθα. (3)

---

(1) Β. 82—98. Γ. 324 Α. 191. πρὸς Εὐν. 382. 636. Α. 298. Γ. 287. πρὸς Εὐν. 650 Γ. 472. περὶ ψυχ. καὶ ἀν. 223. λόγ. κατ. 70, 83. Α. 86. 97 764 (πρβλ. Πλωτ. ἐνν. γ'. 6, 6. ά 8, 2) λόγ. κατ. 70, 169.

(2) Α. 511, 512. 592. 647. 592. ὁ καθαρὸς τὴν καρδίαν ὁρᾷ τὸν Θεὸν ἀεὶ κατὰ τὴν ἀναλογίαν τῆς δυνάμεως, ὅσον χωρῆσαι δύναται, τοσοῦτον τὴν κατανόησιν δεχόμενος.

(3) Ὁ Γρηγόριος ἠθικῶς νοῶν τὸν χριστιανισμὸν καὶ τὰς ἔριδας τῶν φιλονείκων ἀποφεύγων ἐν πάσῃ αὐτοῦ δόξει προλαμ-

Ἐν τοῖς συγγράμμασιν αὐτοῦ ὁ Γρηγόριος δύο κοσμογονίας εἴδη ἀναφέρει· οἳ μέν γάρ, φησιν, ἐκ τοῦ Θεοῦ τὰ ὄντα ὑποστῆναι λέγοντες καὶ ἐν τούτῳ αὐτὰ δυνάμει τιθέμενοι κατά τινα λόγον ἄρρητον εἰς γένεσιν προελθόντα ἐφαντάζοντο. Ἐν τῷ Θεῷ δὲ τὸ ὑλῶδες ἅπαν ἐμπεριχλείοντες καὶ τοῦτον ὑλικὸν ὑπολαμβάνειν ἐβιάζοντο· ὁ γὰρ ἐν ἑαυτῷ τὴν ὕλην ἔχων οὐκ ἄϋλος· (1) τῶν Ἑλλήνων δέ τινες καὶ οἱ Μανιχαῖοι, ἐπειδὴ ἐδόκει ὅλως ἀμήχανον ἐκ τοῦ ἀύλου καὶ ἀδιαστάτου τὴν διαστηματικὴν ἀποτεχθῆναι ὕλην, ἔξωθεν τῷ Θεῷ τὴν ὕλην ἐπεισήγαγον, δύο ἀρχὰς καὶ δύο ἀγένητα ὑπολαμβάνοντες, τὸν τεχνικῶς εἰδοποιοῦντα Θεὸν καὶ τὴν δεχομένην τὴν ἐπιστημονικὴν ἐνέργειαν ὕλην. (2) ἀμφοτέρων τῶν συστημάτων τὰς δόξας ἐπίσης ἀποβλήτους θεωρῶν ὁ Γρηγόριός φησι· «ἴση καθ' ἑκάτερον ἐν τοῖς ὑπονοουμένοις ἡ ἀτοπία, τό τε ἐκ

βάνων φησὶ ταύτην μὴ εἶναι δόγμα, ἀλλ' ἰδίαν αὐτοῦ γνώμην· οὕτω Α. 5. «οὐ—δόγμα τὸν λόγον ποιούμεθα, ὥστε ἀφορμὴν δοῦναι τοῖς διαβάλλουσιν ἀλλ' ὁμολογοῦμεν ἐγγυμνάζειν μόνον ἑαυτῶν τὴν διάνοιαν τοῖς προκειμένοις νοήμασι. 88. διὰ στοχασμῶν τινων καὶ εἰκόνων τὸ ἐπὶ νοῦν ἐλθὸν οὐκ ἀποφαντικῶς ἐκτιθέμεθα, ἀλλ' ἐν γυμνασίας εἴδει τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν προςθήσομεν.» Ταῦτα δὲ καὶ ἄλλα τοιαῦτα ἔδωκεν ἀφορμὴν τῷ Huber δειλὸν τὸν Γρηγόριον ὀνομάζειν ἀδίκως· ὁ γὰρ ὑπὲρ τῆς ἐν Χριστῷ ἀγάπης τὰ ἑαυτοῦ θυσιάζων καὶ τῆς εἰρήνης ἄρχων γινόμενος οὐ δειλός, ἀλλὰ μᾶλλον ἐν γνώσει ἂν κληθείη χριστιανός.

(1) Περὶ ψυχ. καὶ ἀν. 239.

(2) Αὐτ. 239. Α. 106 πρὸς Εὐν. 393.

τῆς φύσεως τοῦ Θεοῦ τὴν κτίσιν οἴεσθαι, καὶ τὸ ἐξ ἑτέρας τινὸς οὐσίας ὑποστῆναι τὰ πάντα· ἐκεῖνο μὲν γὰρ διὰ τὸ ἑτερογενῶς ἔχειν πρὸς τὴν θείαν φύσιν τὰ ὄντα οὐχ ὁμολογεῖται· τοῦτο δὲ ἐπειδὴ τῆς θείας φύσεως ἐκτὸς ὁ λόγος οὐδὲν βλέπει.» (1)

Συνορῶν δὲ καὶ αὐτὸς ὁ Γρηγόριος τὸ δυσχερὲς τῆς τοῦ ζητήματος λύσεως ἀποκαλεῖ κατὰ τὸ εἰωθὸς τὸν τρόπον τῆς τοῦ κόσμου πλάσεως ἀκατάληπτον ἀνθρωπίνοις λογισμοῖς καὶ οὐκ ἀξιοῖ περιεργάζεσθαι, ἀρκούμενος μετὰ τοῦ Ἀποστόλου πίστει νοεῖν κατηρτίσθαι τοὺς οὐρανοὺς ῥήματι Θεοῦ· (2) ἀλλ' ἵν' αὖ μὴ ὅλως ἀγύμναστος ἐν τοῖς τοιούτοις ἡ διάνοια μένῃ, φησὶ τὸν Θεὸν ἐκ τοῦ μὴ ὄντος τὸ πᾶν εἰς τὸ εἶναι παραγαγεῖν· ἡ γὰρ ὁρμὴ τῆς θείας προαιρέσεως, ὅταν ἐθέλῃ πρᾶγμα γίνεται καὶ οὐσιοῦται τὸ βούλημα εὐθὺς φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθελήσῃ μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα· ἡ δὲ τοῦ θελήματος ὕπαρξις οὐσία ἐστί. (3) Μὴ ἀναιρουμένων δ' ἔτι τῶν ἀπορημάτων, πῶς ἐκ τοῦ ἀύλου ἡ ὕλη

---

(1) Περὶ ψυχ. καὶ ἀν. 239 πρβλ. Μελίσσου τοῦ ἐκ Σάμου ἀπόσπ. ις'. γ'.

(2) Α. 106. Περὶ ψυχ. καὶ ἀν. 238—239.

(3) Περὶ ψυχ. καὶ ἀν. 239. πρὸς Εὐν. 367. «ἀρκεῖ μόνη θελήματος κίνησις καὶ προαιρέσεως ὁρμὴ σύνδρομον ἔχουσα καὶ ἐπακολουθοῦσαν πρὸς τὴν τῶν ὄντων ὑπόστασιν τὴν ὑφεστῶσαν τὰ πάντα δύναμιν. 443. 471. Γ 551. πρβλ. Möller Geschichte der Kosmogonie Halle 1860 p. 506.—Κλήμ. Ἀλεξ. προτρ. 4, 6, 55 μόνον αὐτοῦ τὸ θέλημα κοσμοποιΐα.»

καὶ τὸ ποσὸν ἐκ τοῦ ἁπλοῦ καὶ τ' ἄλλα πάντα, ὅσα ἐν τῇ φύσει ὁρᾶται, ἐκ τοῦ μηδὲν ἐν τῇ ἑαυτοῦ φύσει ἔχοντος, ὁ Γρηγόριος πειρᾶται σαφηνίσαι μηδὲν ἀπεικὸς εἶναι τὸν Θεὸν σύμπασαν τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι οὕτω παραγαγεῖν· μηδὲν δ' ἂν εἴη ἀπεικὸς, εἰ οἷόν τε ἦν κοινὰ γοῦν τινα τῷ Θεῷ ἰδιώματα ἐν τῇ κτίσει εὑρεῖν· οὐ γάρ, φησιν, ἡ αὐτὴ ἀμηχανία τῇ διανοίᾳ προσγίνεται ἐπί τε κοινῶν ἰδιωμάτων καὶ μὴ τοιούτων· εἰ τοίνυν πᾶσα ἡ κτίσις νοερὰ καὶ ἄϋλος ἦν οὐκ ἂν ἀπεικὸς ὑπολαμβάνειν ταύτην ὑπὸ Θεοῦ ὑποστῆναι· διὸ ἐπινοίᾳ χρώμενος ὁ Γρηγόριος νοερὸν καὶ ἄϋλον τὸ πᾶν ἀποδεῖξαι πειρᾶται. (1) Τοῦτο δὲ ποιεῖ τὴν τῶν ὄντων φύσιν διαιρῶν καὶ ἑκάστην καθ' ἑαυτὴν ἐξετάζων· «τέτμηταί, φησιν, ἡ τῶν ὄντων φύσις διχῇ· εἰς αἰσθητὸν καὶ ὑλῶδες καὶ εἰς νοητὸν καὶ ἄϋλον· τοῦτο δὲ πάλιν εἰς κτιστὸν καὶ ἄκτιστον· καὶ ἄκτιστον μὲν ἡ θεία φύσις ἐστίν, ἡ τῶν ὄντων ποιητικὴ, ἀεὶ οὖσα ὅπερ ἐστι καὶ πάντοτε ὡσαύτως ἔχουσα — ἡ δὲ διὰ κτίσεως παραχθεῖσα εἰς γένεσιν πρὸς τὸ πρῶτον αἴτιον ἀεὶ βλέπει καὶ τῇ μετουσίᾳ τοῦ περιέχοντος διὰ παντὸς ἐν τῷ ἀγαθῷ συντηρεῖται καὶ τρόπον τινὰ πάντοτε κτίζεται διὰ τῆς ἐν τοῖς ἀγαθοῖς ἐπαυξήσεως πρὸς τὸ μεῖζον ἀλλοιμένη, ὡς μηδὲ ταύτῃ τι πέρας ἐνθεωρεῖσθαι μηδὲ ὅρῳ τινὶ τὴν πρὸς τὸ κρεῖττον αὔξησιν αὐτῆς ἐνθεωρῆσθαι·» ἔστι δὲ αὕτη ἡ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων λογικὴ κτίσις. (2) Ἔχει δὲ ἡ νοερὰ φύσις κοινὰ τῷ Θεῷ ἰδιώ-

(1) A. 6. περὶ ψυχ. καὶ ἀν. 239. 240.—
(2) A. 555. 556,. 743. 428. πρὸς Εὐν. 341—342.

ματα τότε ἄϋλον καὶ ἀσώματον εἶναι καὶ τὸ πάσης αἰσθητικῆς καταλήψεως ὑπερκεῖσθαι· ἔτι δὲ τὸ ἀειδές τε καὶ ἀναφὲς καὶ ἀδιάστατον· καὶ ὡς ἡ ἄκτιστος φύσις νοητὴ οὖσα νῷ καταλαμβάνεται καὶ οὐκ αἰσθήσει, οὕτω καὶ ἡ κτιστὴ καὶ νοερὰ φύσις· (1) δείκνυσι δὲ ταῦτα πάντα τὴν κτιστὴν φύσιν ἐκ τοῦ σύνεγγυς εἶναι τῇ ἀκτίστῳ· διὸ οὐδὲ ἀπάδειν Γρηγορίῳ δοκεῖ νοερὰν φύσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν Θεὸν παραγαγεῖν· (2) Οὐχ ἧττον πράγματα αὐτῷ παρέχει ἡ ὕλη, ἣ ἐν ἀκοινωνήτοις ὡς πρὸς τὸ θεῖον ἰδιώμασι θεωρεῖται· ἵνα τοίνυν καὶ ταύτης τὰς δυσκολίας ὡς οἷόν τε ἄρῃ, φιλοσοφῶν φαίνεται τὰ Ἀριστοτέλει καὶ Πλωτίνῳ τῷ νέῳ Πλατωνικῷ περὶ ὕλης δόξαντα ἀποδεχόμενος. «Οὐδὲν γάρ, φησιν, ἐφ' ἑαυτοῦ τῶν περὶ τὸ σῶμα θεωρουμένων σῶμά ἐστιν· οὐ σχῆμα, οὐ χρῶμα, οὐ βάρος, οὐ διάστημα, οὐκ ἄλλο τι τῶν ἐν ποιότητι θεωρουμένων οὐδέν, ἀλλὰ τούτων ἕκαστον λόγος ἐστίν· ἡ δὲ πρὸς ἄλληλα συνδρομὴ τούτων καὶ ἕνωσις σῶμα γίνεται.» (3) δῆλον δ' ἐντεῦθεν ὅτι ὁ

---

(1) Α. 420. λόγ. κατ. 54 περὶ ψυχ. καὶ ἀν. 240. Α. 556. 420=Πλωτ. Ἐνν. 6'. 4, 5.

(2) Περὶ ψυχ. καὶ ἀν. 240. πρβλ. Πλάτ. Νόμ. Ι'. κεφ. 10. α.

(3) Ἡ τοιαύτη περὶ ὕλης δόξα ἔστι κυρίως Ἀριστοτέλους, παρ' οὗ παραλαβὼν ὁ Πλωτῖνος πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ ἀναπτύσσει· ἐκ δὲ τῆς ὁμοιότητος τῶν τε ἐννοιῶν καὶ τῶν φράσεων, αἷς ὁ Γρηγόριος κέχρηται, ὥσπερ ἐν τοῖς τοῦ Πλωτίνου συγγράμμασιν εὕρηνται, εἰκάζομεν μᾶλλον τοῦτον ἢ τὸν Ἀριστοτέλη ὑπ' ὄψιν ἐσχηκέναι τὸν Γρηγόριον. πρβ. περὶ τῆς ὕλης κατ' Ἀριστ. τὸ μετ' ἀόκνου ἐπιμελείας ἐκδοθὲν σύγγραμμα

Γρηγόριος διακρίνει καὶ διττῶς θεωρεῖ τὴν ὕλην, ὡς ὑποκείμενον, ὅπερ μόνιμόν τέ ἐστι καὶ ὡσαύτως ἔχει, καὶ ὡς ὕλην ἐν αἰσθήσει, ἥπερ τῇ τῶν στοιχείων κράσει τὸ εἶναι λαμβάνουσα τροπῆς τε καὶ ἀλλοιώσεως δεκτική ἐστιν. (1) Ἡ οὖν φαινομένη ὕλη λόγοις, ἤτοι ποσῷ, ποιῷ, σχήματι κ. τ. τ., συνθεωρεῖται, ὧν ἀφαιρουμένων ταῖς αἰσθήσεσι προσπίπτουσα ὕλη οὐχ ὑπάρχει· ἀλλ' οὐδὲ οἱ λόγοι· οὗτοι γὰρ σὺν τῷ ὑλώδει σώματι θεωροῦνται· Ἀλλὰ μὴν οἱ λόγοι τῶν σωμάτων χωρὶς νῷ καταλαμβάνονται· οὐκοῦν καὶ ἡ πρώτη ὕλη ἢ τὸ ὑποκείμενον οὐδέν ἐστιν, ἢ ἁπλῇ ἔννοια, ψιλὰ νοήματα.» (2)

Ἡ ὕλη ἄρα οὐ πάντη ἔρημος θείων ἰδιωμάτων τυγχάνει· ἀσώματος γὰρ καὶ αὕτη δείκνυται καὶ ἁπλῇ καὶ νῷ καταληπτική· ὅθεν οὐκ ἀπεικὸς καὶ ταύτην ἐκ τῆς ἀσωμάτου φύσεως ὑποστῆναι. (3)

τοῦ κ. Ludwig Strümpell die Geschichte der theoretischen Philosophie der Griechen § 131—133. Περὶ Πλωτίνου δὲ τὰ C. H. Kirchner die Philosophie des Plotin Halle 1854. σελ. 106. A. Richter Neuplat. Studien Heft III Halle 1867. σελ. 94.— Περὶ ψυχ. καὶ ἀν. 240. A. 108 — Πλωτ. ἐνν. 6'. 4, 1—16. γ'. 6, 16—17. 6'. 4, 8.

(1) A. 117=Πλωτ. ἐνν. 6'. 4, 7. 8. 9. 10.

(2) A. 107. 91. 7. «ἃ (τὸ κοῦφον, τὸ βαρύ...) πάντα μὲν καθ' ἑαυτὰ ἔννοιά ἐστι καὶ ψιλὰ νοήματα· οὐ γάρ τι τούτων ὕλη ἐστίν, ἀλλὰ συνδραμόντα πρὸς ἄλληλα ὕλη γίνεται.» Πλωτ. ἐνν. 6'. 4, 11. 7, 3. ἑ. 5, 1.

(3) A. 107. 108. «Εἰ νοητὴ τῶν ἰδιωμάτων τούτων ἡ κατανόησις, νοητὸν δὲ τῇ φύσει τὸ θεῖον, οὐδὲν ἀπεικὸς ἐκ τῆς

ΣΗΜ. Ὁ Γρηγόριος πειρᾶται ἐν τοῖς ἑξῆς τὴν εἰρημένην αὐτοῦ περὶ τῆς ὕλης δόξαν καὶ ἐκ τῆς ἁγίας δεῖξαι γραφῆς· φιλοσοφῶν γάρ, φῆσιν, ὁ Μωϋσῆς ἐν τῇ κοσμογονίᾳ τὴν γῆν ἀόρατον καὶ ἀκατασκεύαστον καλεῖ· ἡ γῆ ἄρα ἦν καὶ οὐκ ἦν· τὸ γὰρ ἀόρατον χρῶμα οὐκ ἔχει· ὅπου δὲ χρῶμα οὐ θεωρεῖται, ἐκεῖ οὐδὲ σχῆμα οὐδὲ σῶμα· ἀσώματος τοίνυν ἦν ἡ γῆ καὶ ἀσχημάτιστος· δῆλον δὲ τοῦτο καὶ ἐκ τῆς τοῦ Συμμάχου ἐκδόσεως· οὗτος γὰρ τὴν γῆν «ἀργὸν καὶ ἀδιάκριτον» ὀνομάζει· ὁ δὲ Θεοδοτίων «κένωμα καὶ οὐθέν·» ἅπερ νοεῖν ἡμῖν δίδωσι τὴν γῆν μήπω ἐνεργείᾳ εἶναι, ἀλλὰ μόνῃ τῇ δυνάμει· προκατεβάλετο γὰρ ὁ τοῦ παντὸς κτίστης δύναμίν τινα τῶν ποιοτήτων δεκτικὴν, ἥπερ οὐδὲν εἶχεν ἐν ἑαυτῇ πρὶν συμπληρωθῆναι αὐτὴν ταῖς ποιότησι. (1)

ἀσωμάτου φύσεως τὰς νοερὰς ἀφορμὰς πρὸς τὴν τῶν σωμάτων γένεσιν ὑποστῆναι, τῆς μὲν νοητῆς φύσεως τὰς νοητὰς ὑφεστώσης δυνάμεις, τῆς δὲ τούτων πρὸς ἄλληλα συνδρομῆς τὴν ὑλώδη φύσιν παραγούσης εἰς γένεσιν.»

(1) Α. 7. 12. 13. 12. «γέγραπται — ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, ὡς ἐκ τούτων δῆλον εἶναι ὅτι τῇ μὲν δυνάμει τὰ πάντα ἦν ἐν πρώτῃ τοῦ Θεοῦ περὶ τὴν κτίσιν ὁρμῇ, οἱονεὶ σπερματικῆς τινος δυνάμεως πρὸς τὴν τοῦ παντὸς γένεσιν καταβληθείσης· ἐνεργείᾳ δὲ τὰ καθ' ἕκαστον οὔπω ἦν — τὸ — ἀόρατον χρῶμα οὐκ ἔστι· τὸ δὲ χρῶμα οἷόν τις ἀπορροὴ τοῦ κατὰ τὴν ἐπιφάνειαν σχήματος γίνεται· τὸ δὲ σχῆμα οὐκ ἄνευ σώματος. Εἰ οὖν ἀόρατον ἦν, καὶ ἀχρωμάτιστον πάντως· τούτῳ δὲ συνθεωρεῖται τὸ ἀσχημάτιστον, ἐκείνῳ δὲ τὸ ἀσώματον...» πρβλ. Πλωτ. ἐνν. β'. 4, 4. 9. 5, 1—5. β'. 4, 10, 11. γ'. 6, 6.—

§ 3. *Δημιουργία τοῦ σύμπαντος ἐν ἀκαρεῖ.*

Ἔκ τε τῆς ἁγίας Γραφῆς καὶ ἐκ τῆς ἀνθρωπίνης ἐπινοίας δείξας ὁ Γρηγόριος μὴ ἀπεικὸς εἶναι τὸν Θεὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν παραγαγεῖν, τῇ γενέσει ἑπόμενός φησι τὸν Θεὸν ἐν ἀρχῇ ἢ ἐν κεφαλαίῳ, ὡς ἑρμηνεύει Ἀκύλας, τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργῆσαι· καὶ τῇ ἀρχῇ μὲν τὸ ἀκαρὲς καὶ ἀδιάστατον παντὸς χρονικοῦ διαστήματος νοεῖσθαι ὑπολαμβάνει· τῷ δὲ κεφαλαίῳ τὸ τὰ πάντα συλλήβδην γεγενῆσθαι· πάντων γὰρ τὰς ἀφορμὰς καὶ τὰς αἰτίας καὶ τὰς δυνάμεις ἀθρόως καὶ ἀδιαστάτως καταβαλὼν ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν· (1) Ἤδη ἐνταῦθα ὁ Γρηγόριος θεωρεῖ πάντα ὑπὸ τοῦ Θεοῦ καὶ ἐνεργείᾳ καθορᾶσθαι τῷ τῆς δυνάμεως λόγῳ δεικνύμενα· τυγχάνει δ' ὁ λόγος οὗτος οὔ τις μεταφυσικός, ἀλλ' ἡ ὑπὸ τοῦ Θεοῦ ἐμβληθεῖσα τῇ φύσει τεχνικὴ καὶ ἔλλογος δύναμις καὶ σοφία ἡ σκοπίμως καὶ εἱρμῷ τινι ἀναγκαίῳ τὴν τελείωσιν ἑκάστου τῶν ὄντων ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ εἶναι κατὰ τάξιν προάγουσα· ὃ δὴ καὶ Μωσῆς, διϊδὼν προσγράφει παντὶ ἐνεργείᾳ ὑπόστασιν λαμβάνοντι προστακτικὰς τοῦ Θεοῦ φωνάς. «Καὶ εἶπεν ὁ Θεός» φησι· δηλοῦσι δ' αὗται αἱ φωναὶ τὸν ἐν τῇ ἀρχικῇ δημιουργίᾳ ὑπὸ τοῦ Θεοῦ τῇ οὐσίᾳ τῶν ὄντων ἐμβληθέντα λόγον· «ἔγκειται γάρ, φησιν, ἑκάστῳ τῶν ὄντων δύναμις καὶ λόγος τις σοφὸς καὶ τεχνικός, κἂν μὴ ἔναρθος ᾖ καὶ κρείττων τῆς ἡμετέρας ὄψεως». (2) Καί τοι δὲ ἡ δημιουρ-

(1) A. 7, 8. πρβλ. Βασιλ. ὁμ. εἰς ἑξαήμ. 1.
(2) A. 8, 9, 10, 11. λόγ. κατ. 54. πρὸς Εὐν. 638. A. 19.

γία εὐθὺς ἐν ἀρχῇ ὡς πρὸς τὸν Θεὸν συντελέσθη, ὡς πρὸς τὴν φαινομένην κτίσιν οὔπω τι ἐνεργείᾳ ἦν, ἀλλὰ πάντα δυνάμει μόνον· ἡ γὰρ τῶν ὄντων σπερματικὴ οὐσία πεφυρμένη ἔτι διετέλει· ἀκολούθως δὲ προνοίᾳ Θεοῦ τὸ ἐνδόσιμον λαβοῦσα καὶ συνδραμοῦσα τάξει τινὶ φυσικῇ τὰ σώματα ἀπετέλεσεν· ὡς γὰρ τὸ πῦρ πανταχοῦ τὸ πρῶτον κατεσπαρμένον ἐπεσκοτεῖτο· εἶτα δὲ διὰ τὴν φύσει ὀξεῖαν καὶ εὐκίνητον δύναμιν τῆς βαρυτέρας φύσεως ἐκτὸς γενόμενον σῶμα συνεκρότησε τῷ φωτὶ αὐτοῦ τὰ πάντα περιαυγάζον· οὕτω καὶ τ' ἄλλα πάντα φυσικῶς καὶ κατὰ πρόοδον συντελέσθη. (1)

ΣΗΜ. Ὁ Γρηγόριος ἑπόμενος Ὠριγένει φρονεῖ ὅτι ἡ ὕλη οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν ὑπὸ τοῦ Θεοῦ εἰς γένεσιν ἤχθη, ἀλλ' ἵνα καὶ αὕτη τοῦ ἀγαθοῦ μέτοχος γένηται· ἐπειδὰν γὰρ παύσῃ ἡ ῥοὴ ταύτης καὶ τὸ κακὸν εἰς τὸ μὴ ὂν μεταχωρήσῃ, ἐπακολουθήσει τὰ μηκέτι σαλευόμενα· ἡ ὕλη μεταστοιχειωθήσεται καὶ ὁ λόγος πληρωθήσεται, καθ' ὃν ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν ἔσται· φαίνεται δ' ἐνταῦθα ὁ Γρηγόριος τὴν Ὠριγένους γνώμην, καθ' ἣν ἐν τῇ ἀποκαταστάσει ἡ φαινομένη ὕλη εἰς τὸ μὴ ὂν μεταχωρήσασα πάλιν ὑπόστασιν λαμβάνει, ψυχὰς ἐκ νέου πεσοῦσας δεξομένη, μὴ ἀποδεχόμενος· πρβλ. A, 48 322. 368. 500.

---

27. A. 9. Ἐπὶ — τοῦ Θεοῦ τὸ ἔργον λόγος ἐστὶ — καὶ ἄλογόν τι καὶ συντυχικὸν καὶ αὐτόματον ἐν τοῖς θεόθεν ὑφεστῶσι νοεῖται οὐδέν· ἀλλὰ χρὴ ἑκάστῳ τῶν ὄντων καὶ λόγον τινὰ σοφόν τε καὶ τεχνικὸν ἐγκεῖσθαι πιστεύειν, κἂν κρείττων ᾖ τῆς ἡμετέρας ὄψεως.» A. 27. «πᾶσα — φύσις τὸ κατάλληλον τῇ ἰδίᾳ δυνάμει πάντως ἐργάζεται» = Πλωτ. ἐνν. β'. 3, 17.

(1) A. 9. 13. περὶ ψυχ. καὶ ἀν. 240. A. 52. 10. 16. 19. 27. B, 701. πρὸς Εὐν. 780. 638.

711. B, 12. Γ, 273. Περὶ ψυχ. καὶ ἀν. 228. λόγ. κατ. 83. περὶ Ὡριγ. ἴδ. Möller Kosmologie p. 555.

§ 4 *Περὶ Ἀγγέλων.*

Möller ὁ ἀνθρωπολογίαν Γρηγορίου τοῦ Νύσσης συγγράψας εἰκάζει τοὺς ἀγγέλους κατὰ Γρηγόριον πρὸ τῆς φαινομένης κτίσεως δεδημιουργῆσθαι· ἐπάγεται δ' εἰς ἀπόδειξιν τούτου δύο χωρία· λόγ. κατ. σ. 55, α. «τῆς νοητῆς κτίσεως προϋποστάσης» καὶ B, 22. «συντελέσας—τὸν ἁπλοῦν καὶ νοερώτατον τῶν ἄνω δυνάμεων κόσμον, μεθ' ὃν καὶ τὸν ὑλικὸν τοῦτον καὶ ὁρώμενον.» Ἀλλ' ὁ Γρηγόριος μίαν οἶδε τοῦ Θεοῦ δημιουργικὴν βουλήν, ἐν ᾗ πάντα κατεβάλετο· ἀλλαχοῦ δὲ ῥητῶς λέγει τῶν κτισμάτων μηδὲν δεῖν θεωρεῖν πρεσβύτερον καὶ νεώτερον· τὸ δὲ μὴ θέλειν ἢ μὴ ἐξαρκεῖν τὴν τοῦ Θεοῦ δύναμιν τὸν κόσμον τελείως ἅπαξ παραγαγεῖν ὡς ἄτοπον ἀποβάλλει· (1) Διὰ ταῦτα ἡμῖν γε οὐ δοκεῖ ὀρθῶς ἔχειν τὸν Γρηγόριον τῆς «ἐν ἀρχῇ» γενομένης δημιουργίας ἑτέραν προγενεστέραν ὑποτίθεσθαι νοεῖν. Οὐκ ἀντίκειται δὲ τῇ δόξῃ ταύτῃ οὐδὲ τὰ ῥηθέντα χωρία· ταῦτα γὰρ οὐ προγενεστέραν τινὰ τοῦ Θεοῦ δημιουργικὴν βουλὴν ἡμᾶς διδάσκει, ἀλλὰ τὴν ἐπακολουθήσασαν συντέλειαν τῆς ὁρατῆς κτίσεως· ἐπειδὴ γὰρ ἡ τῶν ἀγγέλων φύσις προαγωγῆς τινος, οἷα ἐπὶ τῶν στοιχείων, ἀνεπίδε-

(1) Möller de hom. nat. §. 4, 1. Γρηγ. A. 123. «μηδὲν προγενέστερον καὶ νεώτερον — εἰ τὸ μὲν προϋπάρχοι, τὸ δὲ ἐπιγένοιτο ἀτελής τις ἡ τοῦ δημιουργοῦντος ἐλεγχθήσεται δύναμις, οὐ παντὶ κατὰ τὸ ἀθρόον ἐξαρτοῦσα, ἀλλὰ διαιρουμένη τὸ ἔργον.» B, 102 A, 704.

κτος ἦν, συνετελέσθη τε καὶ συνεπληρώθη πρὶν τὴν φαινομένην κτίσιν συντελεσθῆναι. (1)

Ἐδημιούργησε δὲ ὁ Θεὸς οὐ μυριάδας ἀγγέλων, ἀλλ' οὐσίαν μίαν, ἣ κατά τινα τρόπον ἄρρητον καὶ ἀνεπινόητον ἀνθρωπίνοις λογισμοῖς δεκτικὴ πληθυσμοῦ οὖσα ἐν τῇ συμπληρώσει τοῦ ὁρατοῦ κόσμου ἐν πολλοῖς ἠριθμεῖτο καὶ τάγματα ἀπετέλει· ὡς νοερὰ δὲ πνεύματα τὴν ἄνω ἔλαχον λῆξιν. Ἐπεὶ δὲ φύσει ἐλεύθεροι καὶ αὐτεξούσιοι, φύσει τρεπτοὶ καὶ τοῦ χείρονος δεκτικοί εἰσιν· ἀλλὰ τῇ χάριτι τοῦ ἐνισχύοντος τῆς τοῦ ἐναντίου ἀπειργόμενοι μετουσίας κατὰ μικρὸν ἐν τῷ ἀγαθῷ ἐγγυμναζόμενοι καὶ ἀδιαλείπτως πρὸς τὸ πρῶτον ἀγαθὸν βλέποντες οὐ παύονται πρὸς τὸ κρεῖττον ἀεὶ ἀλλοιούμενοι. (2) Λειτουργικὰ δὲ πνεύματα (δυνάμεις) γενόμενοι οἱ ἄγγελοι καὶ ἐνεργείας τινὸς πρὸς τὴν τοῦ παντὸς σύστασιν παρὰ Θεοῦ ἔτυχον. (3)

Τούτων τῶν ἀγγελικῶν ταγμάτων ἓν ὑπὸ Θεοῦ ἐνισχυθὲν ἐτάχθη συνέχειν τε καὶ περικρατεῖν τὸν περίγειον τόπον· ἀλλὰ τοῦ ἀνθρώπου τῆς ἄνω δυνάμεως ἀπεικόνισμα πλασθέντος, παραχθὲν φθόνῳ καὶ τῷ ἰδίῳ χρησάμενον αὐτεξουσίῳ «ἔμυσέ τε τοὺς ὀφθαλμοὺς πρὸς τὸ ἀγαθὸν καὶ ἄφθονον καὶ τοῦ ἀληθινοῦ φωτὸς καὶ τῆς ἀληθοῦς ζωῆς — εἰς τὸν θάνατον καὶ τὸ σκότος ἐξέπεσε »

---

(1) A, 705.

(2) A, 90, 91. πρὸς Εὐν. 628 — 629. A. 428. πρὸς Εὐν. 812. πρὸς Ἀπολλ. 186. 252. λόγ. κατ 54. A. 743. 87. πρὸς Εὐν. 651. B'. 34. A, 556.

(3) B'. 34. λόγ. κατ. 56.

τοῦτο δ' ἔστιν ἡ πρώτη τῶν ἀγγέλων πρὸς τὴν κακίαν ῥοπὴ καὶ ἡ ὁδὸς ἁπάντων τῶν κακῶν· «ἅπαξ γὰρ τῆς τῶν κακῶν συμφυίας ἀποσπαθεὶς καὶ πρὸς κακίαν βρίσας καὶ κατανεύσας (ὁ τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ γεννήσας τὸν φθόνον) αὐτομάτως οἷόν τινι βάρει πρὸς τὸν ἔσχατον τῆς πονηρίας ὅρον συνωσθεὶς ἀπηνέχθη καὶ τὴν διανοητικὴν δύναμιν, ἣν εἰς τὴν συνέργειαν τῆς τοῦ κρείττονος μετουσίας ἔσχε παρὰ τοῦ κτίσαντος, ταύτην εἰς εὕρεσιν τῶν κατὰ κακίαν ἐπινοουμένων συνεργὸν ποιησάμενος εὐμηχάνως περιέρχεται δι' ἀπάτης τὸν ἄνθρωπον, αὐτὸν ἑαυτοῦ πείσας γενέσθαι φονέα.» (1) Προώρισται δ' ὅμως καὶ τούτοις σωτηρία· τοῦ γὰρ Ὠριγένους καὶ τοῦ Γρηγορίου ἡ περὶ Θεοῦ καὶ κακίας δόξα συνεπάγεται ἀναγκαίως μεθ' ἑαυτῆς καὶ τὸ σὺν Θεῷ μέλλειν ἔσεσθαι πάντων, ὅσα ὑπὸ Θεοῦ τὴν ὑπόστασιν ἔλαβεν. (2)

§ 5. *Περὶ ἀνθρώπου.*

Ἡ μὲν τοίνυν τῶν ἀγγέλων φύσις τελειωθεῖσα καὶ ἐκτὸς παντὸς αἰσθητοῦ οὖσα τὴν κατάλληλον αὐτῇ λῆξιν ἔλαχε· νοερᾶς δὲ καὶ ἀσωμάτου διαγωγῆς εὐμοιρήσασα οὐκ ἐπαύετο ἐν τῷ ἀγαθῷ ἐντρυφῶσα· ἡ δὲ γῆ, τὸ ἔσχατον τῶν αἰσθητῶν, ἡ ἐκ συνδρομῆς τῆς τῶν ὄντων σπερματικῆς οὐσίας συναποτελεσθεῖσα λόγον μέν τινα σκο

(1) Αὐτ. 56.

(2) Λόγ. κατ. 84. Α. 279. 423. Γ. 621. 8 (τὸ θεῖον) πάντοτε καὶ παντὶ καὶ διὰ πάντων ἐστὶν ἀγαθόν, οὔτε κατὰ καιροὺς οὔτε ἐπί τινων οὔτε διά τι, ἀλλ' ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον. πρβλ. 422. λόγ. κατ. 84—85.

πίμως ἐνεργοῦντα καὶ ζωτικὴν ἐνέργειαν παρὰ τοῦ δημιουργοῦ προσείληφε· ψυχῆς δὲ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχούσης ὅλως ἄμοιρος ἦν· ὅθεν οὔτε πάντοτε ἡ αὐτή, καὶ ἀλλοιώσεώς τε καὶ φθορᾶς ἀναλύσεως καὶ συνθέσεως ἅμα δεκτική ἐστι· στερουμένη δὲ λογικῆς ψυχῆς καὶ τῶν θείων ἀγαθῶν ἀμέτοχος διετέλει· τῷ γὰρ ὁμοίῳ πέφυκε βλέπειν τὸ ὅμοιον. (1) Ἐπειδὴ τοίνυν οὔτε ἡ νοερὰ φύσις χωρὶς αἰσθήσεων τῶν ἐν τῇ φαινομένῃ κτίσει ἀγαθῶν ἀπολαμβάνειν οἵα τε ἦν, οὔτε ἡ ὕλη τῆς λογικῆς ψυχῆς ἐστερημένη τῶν νοερῶν μετέχειν, ἑκατέραν δὲ τῆς ἑτέρας ὅλως ἀπόκληρον γενέσθαι οὐκ ἔδει, διὰ τοῦτο ὁ Θεὸς «ὁδῷ τινι πρὸς τὸ τέλειον ἀκολούθως προϊούσης τῆς φύσεως ἀναδείκνυσι δι' ἀγαθότητα τελευταῖον τὸν ἄνθρωπον σύγκριμα ἐκ νοερᾶς τε καὶ λογικῆς ψυχῆς καὶ ἐκ τῆς ὁρωμένης τετραστοίχου κτίσεως· τούτου δὲ προηγεῖται βουλή· οὐ γὰρ ἡ φύσις ἐνταῦθα, ὥσπερ ἐπὶ τῶν λοιπῶν, αὐτοσχεδιάζεται, οὔτε ἀνατίθεται ἡ τοῦ ἀνθρώπου πλάσις λειτουργικαῖς τισι δυνάμεσιν, ἀλλ' αὐτὸς ὁ τοῦ παντὸς ποιητὴς «περιεσκεμμένως πρόϊσιν, ὡς καὶ

---

(1) A, 15. λόγ. κατ. 54. Γ, 325 A, 81, 82. 115 B, 106, 107. περὶ ψυχ. καὶ ἀν. 205, 206. A, 59, 60. 81, 82. πρὸς Εὐν. 636 Γ, 325. λόγ. κατ. 51. Γ, 146. 326. ὡς — ὀφθαλμῷ γίνεται τῆς αὐγῆς ἡ ἀπόλαυσις τῷ φυσικὴν αὐγὴν ἐν ἑαυτῷ πρὸς τὴν τοῦ ὁμογενοῦς ἀντίληψιν ἔχειν — οὕτως ἀνάγκη πᾶσα καὶ ἐπὶ τῆς τοῦ Θεοῦ μετουσίας εἶναί τι συγγενὲς πρὸς τὸ μετεχόμενον ἐν τῇ φύσει τοῦ ἀπολαύοντος· διὰ τοῦτό φησιν ἡ γραφὴ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον, ὡς ἂν οἶμαι τῷ ὁμοίῳ βλέπειν τὸ ὅμοιον.

ὕλην αὐτῷ τῆς συστάσεως προετοιμάσαι, καὶ ἀρχετύπῳ, τινὶ κάλλει τὴν μορφὴν ὁμοιῶσαι.» Λαβὼν οὖν γῆν τῇ ἰδίᾳ χειρὶ σῶμα ἔπλασεν, εἰκόνα καὶ ὁμοίωμα τῆς τετραστοίχου φύσεως· τούτῳ δὲ ψυχὴν λογικὴν διὰ τοῦ ἐμφυσήματος κατ' εἰκόνα αὐτοῦ ποιήσας θείᾳ ἐπινοίᾳ συνεκεράσατο· εἰ μὴ γὰρ συνεκίρνατο τῷ αἰσθητῷ τὸ λογικόν, οὐκ ἂν ἐν σώματι ἐγίνετο ψυχὴ λογική. (1)

ΣΗΜ. Ὁ Γρηγόριος διακρίνει τὸ πλάτειν τοῦ ποιεῖν ὡς καὶ τὰ ἐκ τούτων οὐσιαστικά· ἡ γὰρ πλάσις τῷ πηλῷ πρέπει, φησὶν, ἡ δὲ ποίησις τῷ κατ' εἰκόνα (A, 154. 155.)· ὀνομάζει δὲ τὸν ἄνθρωπον σκεῦος θεόπλαστον (A, 155.)· ἔργον καὶ μίμημα τῆς ἀκηράτου φύσεως (Γ. 147.)· Θεοῦ τὸ ἄριστον φιλοτέχνημα (A, 840.)· χαρακτῆρα καὶ ὁμοίωμα κόσμου (A, 83.)· τῆς θείας καὶ ἀλόγου φύσεως τὸ μέσον (A, 85)· ζῶον θεοειδὲς (Γ, 422.)· ποίημα θεοῦ λογικὸν κατ' εἰκόνα γενόμενον τοῦ κτίσαντος αὐτόν (A, 146).

Ἐποίησε τοίνυν ὁ Θεὸς τὸν ἄνθρωπον ὥσπερ μικτόν τινα κόσμον σεγγενῆ τῶν δύο κόσμων· ἐξ ἑτερογενῶν γὰρ συγκεκραμένος τὴν φύσιν ἐστί· τὸ γὰρ σῶμα ἔρανος τῶν στοιχείων· ἡ δὲ ψυχὴ νοερά τε καὶ θεία οὐσία ἐστί· διὰ δὲ δὴ ταῦτα καὶ μικρὸν κόσμον τὸν ἄνθρωπον καλεῖ ὁ Γρηγόριος· ἀλλ' οὐχ ὡς τινες τῶν ἔξωθεν φιλο-

(1) A, 81. λόγ. κατ. 51. 54. «πρὸς τὴν αἰσθητὴν φύσιν γίναιταί τις τοῦ νοητοῦ συνανάκρασις, ὡς ἂν μηδὲν ἀπόβλητον εἴη τῆς κτίσεως μηδὲ τῆς θείας κοινωνίας ἀπόκληρον.» Λογ. κατ. 51. A, 51, 52. (δημιουργεῖ δὲ ὁ Θεὸς τὸν ἄνθρωπον ἐξ ἀγάπης καὶ ἀγαθότητος. A, 86. 814. λόγ. κατ. 52. πρὸς Εὐν. 468. λόγ. κατ. 51.) — A, 154. 58. 61. 62. 63. B, 247. A. 262—261. A, 62. 71. περὶ ψυχ. καὶ ἀν. 205. 206.

σόφων διὰ τὸ ἐκ τεσσάρων στοιχείων συγκεκράσθαι τὸν ἄνθρωπον μικρὸν κόσμον ἀποκεκλήκασι· παντὶ γὰρ αἰσθήσεως μετέχοντι κοινά ἐστι ταῦτα· διὰ δὲ τὴν ἐνθεωρουμένην αὐτῷ πρὸς τοὺς δύο κόσμους συγγένειαν καὶ μουσικὴν ἁρμονίαν. Ἐπειδὴ οὕτω τῶν τε γηΐνων ἀγαθῶν θεατὴς καὶ κύριος ἐγένετο καὶ τῶν ὑπερκειμένων καὶ νοερῶν μέτοχος. (1)

Ὁ δὲ τῆς τοιαύτης τοῦ ἀνθρώπου πλάσεως ἀληθὴς λόγος ἄγνωστος Γρηγορίῳ εἶναι δοκεῖ· εἰκάζει δὲ τὸν Θεὸν οὕτω τὸν ἄνθρωπον ὑφεστάναι ἐθελῆσαι, ἵνα δοξάζηταί τε δι' ἁπάντων ἡ ὑπερκειμένη δύναμις, καὶ τῶν θείων ἀγαθῶν μηδὲν ἀπόκληρον γένηται· ἡ γὰρ γεηρὰ σὰρξ ἐν τῇ τῶν πάντων ἀποκαταστάσει συμμετακίζεσθαι τῇ ψυχῇ μέλλει. Κατὰ γοῦν τὸν Ἀπόστολον τὸ φθαρτὸν τοῦτο ἐνδύσεται ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν. Ὥσπερ τοίνυν ἡ τοῦ Χριστοῦ σὰρξ οὐδὲν καθ' ἑαυτὴν οὖσα ἢ ὅπερ ὁ λόγος καὶ ἡ αἴσθησις βλέπει, μετεποιήθη δ' ἀκολούθως πρὸς τὴν θεότητα διὰ τῆς πρὸς τὸ θεῖον ἀνακράσεως ἐν τοῖς ὅροις καὶ ἰδιώμασι τοῦ ὑπερέχοντος ἀναληφθεῖσα, οὕτω καὶ τοῦ ἀνθρώπου ἡ ὑλικὴ φύσις ἐν τῇ ἀναστάσει πρὸς θειοτέραν μεταστοιχειωθή-

---

(1) Β, 22. δ. Γ, 325. 626. 6. γ. Α, 83. 6. Περὶ ψυχ. καὶ ἀν. 188, 6. Α, 264. πρβλ. Πλάτ. Φίληβ. 29. Ὠριγ. ὁμιλ. εἰς τὴν Γέν, 1, 12. Γρηγ. Ναζ. λόγ. 28. 38. 45.— Α, 50, ε. 51, α — δ. «Διὰ τοῦτο διπλᾶς αὐτῷ τῆς κατασκευῆς τὰς ἀφορμὰς καταβάλλεται, τῷ γηΐνῳ τὸ θεῖον ἐγκαταμίξας, ἵνα δι' ἀμφοτέρων συγγενῶς τε καὶ οἰκείως πρὸς ἑκάτερον τὴν ἀπόλαυσιν ἔχῃ, τοῦ Θεοῦ μὲν διὰ τῆς θειοτέρας φύσεως, τῶν δὲ κατὰ τὴν γῆν ἀγαθῶν διὰ τῆς ὁμογενοῦς αἰσθήσεως ἀπολαύων.» —

σεται κατάστασιν, καὶ οὐδὲν τῶν ἐν τῷ αἰσθητῷ κόσμῳ θεωρουμένων παραμενεῖ, πάντων πρὸς τὸ θειότερον μετατιθεμένων. (1)

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ψυχῆς.

§ 6. *Ἡ ψυχὴ εἰκών ἐστι Θεοῦ.*

Διαλαβόντες ἐν τοῖς ἡγουμένοις τὰ περὶ τῶν δύο κόσμων, μεταβαίνομεν νῦν εἰς τὴν ἐξέτασιν τῆς ψηχῆς ἀρχόμενοι ἀπὸ τοῦ κατ' εἰκόνα Θεοῦ εἶναι ταύτην· τοῦτο γὰρ μάλιστα πάντων ἡμᾶς διδάσκει ὅτι χρὴ τὴν ψυχὴν εἶναι λογίζεσθαι· ὥσπερ γὰρ περὶ τῆς τοῦ Θεοῦ ὑπάρξεως καὶ τῆς οὐσίας ἡ τοῦ ἀνθρώπου ἐπίνοια οὐδένα λό-

---

(1) Α, 88. α. 743, δ. «οὐκ οἶδα — ὅτι τοῦ θείου βουλήματος διὰ τούτων οἰκονομοῦντος εἴτε πᾶσαν πρὸς ἑαυτὸν οἰκειοῦντος τὴν κτίσιν, ὡς ἂν μήτε τῶν οὐρανίων ὑψωμάτων ἡ κάτω λῆξις ἀμοιρήσειε, μήτε ὁ οὐρανὸς καθόλου τῶν κατὰ τὴν γῆν — ὡς ἂν γένοιτό τις διὰ τοῦ ἀνθρωπίνου πλάσματος ἑκατέρῳ τῶν στοιχείων μετουσία τῶν ἐν θατέρῳ νοουμένων· τοῦ νοεροῦ τῆς ψυχῆς, ὅπερ δοκεῖ συγγενές τε καὶ ὁμόφυλον τῶν κατ' οὐρανῶν εἶναι δυνάμεων τοῖς γηΐνοις σώμασιν ἐνοικοῦντος, τῆς τε γεηρᾶς ταύτης σαρκὸς ἐν τῇ ἀποκαταστάσει τῶν πάντων εἰς τὸν οὐράνιον χῶρον τῇ ψυχῇ συμμετοικιζομένης.» Λόλ. κατ. 51. γ. Γ. 326. Β, 11. 6. 12. 6. δ. 14. 15. (πρβλ. Ἐφ. 3, 6.) Πρὸς Εὐν. 589. Περὶ ψυχ. καὶ ἀν. 213—214. 230. Γ. 640. εἰ — ἐπὶ τῶν ἀλλαγέντων τὸ βάρος οὐ παραμένει τῷ σώματι,

γον ἄμεσον εὑρεῖν δύναται, οὕτω καὶ περὶ τῆς ψυχῆς· καὶ ὥσπερ ἐκεῖ κοσμολογικῇ καὶ τελεολογικῇ χρώμενοι ἀποδείξει τήν τε ὕπαρξιν τοῦ ὑπερτάτου ὄντος νοοῦμεν καὶ τὴν οὐσίαν ὑπογράφομεν, οὕτω καὶ ἐνταῦθα τὸν μικρὸν ἐν ἡμῖν κόσμον θεωροῦντες. Ὁ τοίνυν πρῶτος καὶ κυριώτατος τοῦ κατ' εἰκόνα Θεοῦ εἶναι τὴν ψυχὴν λόγος ἐστὶν ὁ ἄγνωστος περὶ τῆς ὑπάρξεως αὐτῆς λόγος· τό τε γὰρ θεῖον καὶ τὴν ψυχὴν οὐκ ἴσμεν, ὅπως εἰς ὕπαρξιν πεφύκασι· τῆς δ' οὐσίας, ἥτις πότ' ἐστι, οὐδεὶς λόγος μηνυτὴς εὑρέθη· ἔστι γὰρ καὶ περὶ ταύτην ἀκαταληψία καὶ ἀσάφεια καὶ ἀδηλία· ἔτι δὲ τὰ κατ' αὐτὴν παντ' ἀγνοοῦντες ἐκ τῶν ἐν τῷ σώματι ἐνεργημάτων περὶ τῆς ὑπάρξεως ταύτης βεβαιούμεθα· Καθ' ἅπερ δὲ τὸ θεῖον, οὕτω καὶ ἡ ψυχὴ ἀνώνυμος τὴν φύσιν οὖσα πολυώνυμος τῇ τοῦ ἀνθρώπου ἐπινοίᾳ καθέστηκεν· ὄνομα γὰρ τὸ τὴν οὐσίαν παραδηλοῦν ψυχή ἐστιν· εἰ δέ τις ἄϋλον καὶ ἀειδῆ προσονομάζει, ὅ,τι ἡ ψυχὴ οὐκ ἔστι δηλοῖ· ψυχὴν δὲ καὶ λόγον καὶ νοῦν λέγων τῶν περὶ αὐτήν τί φησι· θρεπτικὴν δὲ καὶ αἰσθητικὴν καὶ λογικὴν ἀποκαλῶν τὰς ποικίλας τῆς ψυχῆς ἐνεργείας ὑποδείκνυσι· ἀναίτιος δ' οὖσα καὶ ἀγέννητος ἡ ψυχή, ὥσπερ ὁ Θεὸς καὶ πατήρ, γεννᾷ μὲν ἀπαθῶς τὸν λόγον τύπον ὄντα τοῦ θείου λόγου, ἐκ δ' αὐτῆς ἐκπορεύεται ὁ νοῦς, κατὰ τύπον τοῦ παναγίου καὶ ἐκπορευτοῦ ἁγίου πνεύματος. Ὥσπερ

ἀλλὰ συμμετεωροπορροῦσι τῇ ἀσωμάτῳ φύσει οἱ πρὸς τὴν θειοτέραν μεταστοιχειωθέντες κατάστασιν, πάντως ὅτι καὶ τὰ λοιπὰ τῶν ἰδιωμάτων τοῦ σώματος πρός τι τῶν θειοτέρων μετατεθήσεται τὸ χρῶμα, τὸ σχῆμα, ἡ περιγραφή...

δὲ τὰ τοῦ Θεοῦ ὀνόματα, οὕτω καὶ τὰ τῆς ψυχῆς φεράλληλά ἐστι καὶ ἀλληλένδετα. (1) Ἐκ τούτων οὖν δῆλον τὴν ψυχὴν κατ' εἰκόνα Θεοῦ πεπλάσθαι.

Σημ. Ὁ Möller ἔκ τινων πρωτοτύπων, ὡς γ' αὐτῷ δοκεῖ, χωρίων ὁρμώμενος διστάζει τὴν ἐν τῷ δευτέρῳ τόμῳ σελ. 22 — εὑρισκομένην πραγματείαν «ἐκ τῶν ἀπόρων περὶ τοῦ τί ἐςι τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ» ἐν τοῖς γνησίοις τοῦ Γρηγορίου συγγράμμασι καταλέξαι· φησὶ γὰρ «Comparatio illa hominis cum sancta trinitate neque in libris ctr. Eun. neque in aliis ejus scriptis, ubi de trinitate agit Gr; legitur.» καὶ «neque etiam vocem φεράλληλος καὶ ἀλληλένδετος ad exprimendam eam trium personarum divinarum rationem nomina altera ab albera recipiunt, a Gr; ullo loco adhiberi memini.» καὶ τέλος «accedit quod p, 26. anima appellatur ingenita ἀγέννητος καὶ ἀναίτιος quum Gregorius eam γενητὴν vocet (de an. et res. 189)» Möller p. 30 Ἀλλ' ἐκ τῶν ῥηθησομένων ἱκανῶς, οἶμαι, δειχθήσεται τὸν Γρηγόριον τῷ ἀνθρώπῳ μάλιστα πάντων παραδείγματι χρεῖσθαι πρὸς τὸ καταληπτὴν ποιήσασθαι τήν τε μίαν τοῦ Θεοῦ οὐσίαν καὶ τὰς ταύτης ὑποστάσεις· νῦν δ' ἀρκεῖ τὰς τοῦ Möller ἐνστάσεις ἐκ τῶν μηδεμίαν ἐπιδεχομένων ἀντίρρησιν συγγραμμάτων τοῦ Γρηγορίου ἐσφαλμένας καταδεῖξαι.

α) Ἐν γὰρ τῷ κατηχητικῷ λόγῳ τὴν μίαν τοῦ Θεοῦ οὐσίαν ἐν τρισὶν ὑποστάσεσι δεῖξαι πειρόμενός φησι· «χρὴ πάντως τῷ λόγῳ καὶ τὸν πατέρα τοῦ λόγου συνυπακούεσθαι· οὐ γὰρ ἂν εἴη λόγος μή τινος ὢν λόγος·» καὶ «ὥσπερ — ἐφ' ἡμῶν ἐκ τοῦ νοῦ φαμεν εἶναι τὸν λόγον, οὔτε διόλου τὸν αὐτὸν ὄντα τῷ νῷ

(1) Β, 24, 6. δ. 25. α. 27. δ. 26. γ. 29—30. Α, 62. 66. 82. γ. δ. 54, γ. 55. 64. Γ, 625. Περὶ ψυχ. καὶ ἀν 188, γ.

οὔτε παντάπασιν ἕτερον· τῷ μὲν γὰρ ἐξ ἐκείνου εἶναι ἄλλο τι καὶ οὐκ ἐκεῖνό ἐστι· τὸ δὲ αὐτὸν τὸν νοῦν εἰς τὸ ἐμφανὲς ἄγειν, οὐκέτ' ἂν ἕτερον παρ' ἐκεῖνο ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὢν ἕτερον τῷ ὑποκειμένῳ ἐστίν· οὕτω καὶ ὁ τοῦ Θεοῦ λόγος τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν διήρηται πρὸς ἐκεῖνον παρ' οὗ τὴν ὑπόστασιν ἔχει· τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ, τῷ διὰ τῶν αὐτῶν γνωρισμάτων εὑρισκομένῳ — σελ. 47 — 48, α. «ὥσπερ δὲ τὸν λόγον ἐκ τῶν *καθ' ἡμᾶς ἀναγωγικῶς* ἐπὶ τῆς ὑπερκειμένης ἔγνωμεν φύσεως, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῇ περὶ τοῦ πνεύματος ἐννοίᾳ προσαχθησόμεθα = B, 26, γ. 27, 6.

6) Τὸ δὲ τῶν θείων ὀνομάτων φεράλληλον καὶ ἀλληλένδετον ὁ Γρηγόριος περιγράφει ὧδε· «πάντα — τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα ὁμωνύμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν. — Ὅσα γὰρ ἂν εἴπῃς ὀνόματα ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον· κἂν Θεὸς εἴπῃς τὸν αὐτὸν ἐνδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας. Ἐπειδὴ πάντα τὰ ὀνόματα τῇ θείᾳ φύσει ἐπιλεγόμενα *ἰσοδυναμεῖ ἀλλήλοις* κατὰ τὴν τοῦ ὑποκειμένου ἔνδειξιν, ἄλλα κατ' ἄλλην ἔμφασιν ἐπὶ τὸ αὐτὸ τὴν διάνοιαν ὁδηγοῦντα·» ὅτι Θεὸς τὸ πν. τὸ ἅγ. σελ. 9—467. 468. περὶ θεότ. Υἱ. κ. πν. ἀπαύγασμα τῆς δόξης — καὶ χαρακτῆρα τῆς ὑποστάσεως καὶ δύναμιν — ὧν ἕκαστον καθάπερ ἐν συζυγίαις τισὶν ἀναγκαίαις οὐδὲν ἐφ' ἑαυτοῦ κατὰ μόνας νοεῖται, ἀλλὰ συνημμένως ἀμφότερα καὶ μετ' ἀλλήλων καταλαμβάνεται· τὸ γὰρ ἀπαύγασμα πάντως τινός ἐστιν ἀπαύγασμα, καὶ ὁ χαρακτὴρ τινος χαρακτὴρ πάντως ἐστὶν — 469. Γ, 32, γ. «ὁ τὸν πατέρα νοήσας αὐτόν τε ἐφ' ἑαυτοῦ κατενόησε καὶ τὸν υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο· ὁ δὲ τοῦτον λαβὼν τοῦ υἱοῦ οὐκ ἀπεμέρισε τὸ πνεῦμα — καὶ τὸ πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ

καὶ τὸ ἐξ οὗ ἐστι τὸ πνεῦμα.» Γ 625. Α. 66. Κατὰ Γρηγόριον ἄρα ὁ Θεὸν ὀνομάσας καὶ τὸν λόγον καὶ τὸ πνεῦμα ἐνόησεν, ὥσπερ καὶ ὁ ψυχὴν εἰπὼν τὸν λόγον καὶ τὸν νοῦν ἐδήλωσεν, ὡς καὶ τἀνάπαλιν.

γ) Τέλος δὲ καὶ τὸ καλεῖν τὴν ψυχὴν ἐνταῦθα μὲν ἀγέννητον καὶ ἀναίτιον, ἀλλαχοῦ δὲ γενητὴν οὐ ξένον τῇ τοῦ Γρηγορίου θεωρίᾳ εἶναι δοκεῖ. Ἀποκαλῶν γὰρ ὁ Γρ. τὴν ψυχὴν ἀγέννητον καὶ ἀναίτιον οὐ θέλει τὴν οὐσίαν τῆς ψυχῆς ὑπογράψασθαι, ἀλλὰ πρὸς τὰς ἐξ αὐτῆς ὑποστάσεις, τὸν νοῦν καὶ τὸν λόγον, βλέπει· οὗτοι γὰρ τῆς αὐτῆς τῇ ψυχῇ οὐσίας ὄντες ἐκ τῆς ψυχῆς τὴν ὑπόστασιν ἔχουσιν, ὥσπερ ὁ λόγος καὶ τὸ πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Θεοῦ. Ὑπὸ δὲ τοιαύτην ἔννοιαν καὶ ὁ Ἀδὰμ ἐν τῇ πρὸς τοὺς ἐξ ἐκείνου ἀνθρώπους σχέσει ἀγέννητος ὀνομάζεται· «τοῦ — Ἄβελ γεννητῶς ὑποστάντος, τίς οὐκ ἂν εἴποι τῶν εὖ φρονούντων κατ' αὐτὸ τὸ τῆς ἀνθρωπίνης γεννήσεως σημαινόμενον ἀγεννήτως τὸν Ἀδὰμ ὑποστῆναι; πρὸς Εὐν. 513, 6. καὶ ἀλλαχοῦ· ὁριζόμενος δὲ τὴν φύσιν τῆς ψυχῆς γενητὴν αὐτὴν καλεῖ, τοὐτέστι κτιστήν, ἅ τε δὴ ἐκ τοῦ μὴ ὄντος εἰς γένεσιν ἐλθοῦσαν· «ἄλλοι γάρ, φησιν, ἄλλως τὸν περὶ ταύτης ἀπεφήναντο λόγον κατὰ τὸ δοκοῦν ἕκαστος ὁριζόμενοι· ἡ δὲ ἡμετέρα περὶ αὐτῆς (τῆς ψυχῆς) δόξα οὕτως ἔχει· ψυχή ἐστιν οὐσία γενητή...» περὶ ψυχ. καὶ ἀν. 189. 194. 195. ἔπιθι καὶ Stigler σ. 16, 1.— ἔπιθι καὶ κατωτέρω §. 8.

Δι' ἀγαθότητα δὲ εἰς τὴν κατ' εἰκόνα δημιουργίαν τῆς ψυχῆς ὁρμήσας ὁ Θεὸς οὐχ ἡμιτελῆ ταύτην ἀνεδείξατο τὸ μέν τι δοὺς ἐκ τῶν προσόντων αὐτῷ τοῦ δὲ φθονήσας τῆς μετουσίας· ἀλλὰ τελείαν εἰς γένεσιν παραγαγὼν καὶ τῶν ἀγαθῶν ἀνενδεᾶ ἀπειργάσατο· ἐνεβάλετο γὰρ αὐτῇ πᾶσαν καλοῦ ἰδέαν καὶ ἀρετὴν καὶ σοφίαν καὶ ὅ,τι πέρ ἐστι πρὸς τὸ κρεῖττον νοούμενον· οὔσης δὲ τῆς ἀρε-

τῆς ἐλεύθερον καὶ αὐτεξούσιόν τι χρῆμα, τοιαύτη καὶ ἡ ψυχὴ ἐδημιουργήθη. Ὡς δ' εἰκὼν τῷ πρωτοτύπῳ ἀπαράλλακτος οὐκ ἔστιν· ἐκεῖνο μὲν γὰρ ἄκτιστον καὶ ἀεὶ ὡσαύτως ἔχον· αὕτη δὲ τρεπτὴ καὶ ἀλλοιώσεως δεκτική· (1) διὸ συμβαίνει τῇ ψυχῇ παραπλήσιόν τι τοῖς ὀργανικοῖς σώμασι· ὥσπερ γὰρ ταῦτα ταῖς γηίναις διακρατεῖται τροφαῖς, οὕτω καὶ ἡ ψυχὴ ζῇ τε καὶ τρέφεται τοῦ θείου μετέχουσα· μετέχει δὲ τοῦ θείου ἐὰν μὴ παύσηται πρὸς τὸ θεῖον βλέπουσα. Ἀλλ' ὅμως πέφυκε τῷ ὁμοίῳ βλέπειν τὸ ὅμοιον· ὅθεν καὶ ὁ Θεὸς ἐνεβάλετο τῇ εἰκόνι συγγενές τι καὶ ὁμόφυλον αὐτῷ (2). Ἕως ἂν ἡ ψυχὴ τοίνυν βλέπῃ πρὸς τὸν Θεὸν, μετέχει τε τοῦ θείου καὶ ζῇ· ἐπειδὰν δὲ παύσηται τὴν ἐν αὐτῇ δύναμιν πρὸς ἐκεῖνο τρέπουσα, τὴν εἰκόνα τε παραβλάπτει καὶ εἰς τὸν θάνατον καὶ τὸ σκότος μεταπίπτει τοῦ φωτὸς καὶ τῆς ζωῆς

---

(1) A, 86, 6—γ. 87, α. 52. ε. 53. α. Γ. 634. γ.

(2) Γ. 326. 6. γ. ἔστι δὲ τὸ δόγμα τοῦτο κυρίως Ἐμπεδοκλέους, ὃς κατ' Ἀριστοτέλην περὶ ψυχ. βιβλ. I, Κεφ. 2, 7 ἔλεγε·

Γαίῃ μὲν γαῖαν ὀπώπαμεν ὕδατι δὲ ὕδωρ
Αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον.
Στοργῇ δὲ στοργήν, νεῖκος δὲ νείκεϊ λυγρῷ.

πρβλ. Πλάτ. πολιτ. στ'. σελ. 508. α. 6.—509. Ἀλκιβ. ά. σελ. 132. δ. Πλωτῖν. ἐνν. ά. 6, 9. 1, 9 ὧν τὴν ἔννοιαν κάλλιστα συμπεριλαμβάνει ὁ Göthe (τόμ. γ'. σελ. 75.) ἐν τετραστίχῳ·

Wär nicht das Auge sonnenhaft
Die Sonne Könnt' es nie erblicken.
Läg nicht in uns des Gottes eigne Kraft
Wie Könnt' uns Göttliches entzücken!

ἀπομακρυνομένη. (1) Τῆς δ' εἰκόνος ἕτερον θεωρεῖ ὁ Γρηγόριος τὴν πρὸς τὸν Θεὸν ὁμοίωσιν, ἣν ὁ Δημιουργὸς δυνάμει μόνον ἐν τῇ τοῦ ἀνθρώπου εἰκόνι ἔθετο, τὸ ἐνεργείᾳ ὅμοιον γενέσθαι τῷ ἰδίῳ καταλιπὼν αὐτεξουσίῳ. Ὁ δὲ Μωσῆς τοῦτο θέλων παρασημάναι ἐν μὲν τῇ πρώτῃ βουλῇ τὴν εἰκόνα ἔθετο· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα»· μετὰ δὲ τὸ γενέσθαι τὸν ἄνθρωπον καὶ τὸ «καθ' ὁμοίωσιν» προσέθετο· ἀτέλειαν δὲ τῆς δημιουργικῆς τοῦ Θεοῦ δυνάμεως τὸ τοιοῦτον οὐ δείκνυσιν, ἀλλ' ἀγαθότητα· οὐδὲ γὰρ εἰκόνα εἰκῇ κειμένην πρὸς τὸν τοῦ ζωγράφου θαυμασμὸν τὸν ἄνθρωπον δημιουργῆσαι ἠβουλήθη, ἀλλά τι καὶ αὐτῷ ἀφῆκεν, ἵνα καὶ τῷ ἀνθρώπῳ ἔπαινον φέρῃ, «ἵνα, φησὶν ὁ Γρ., τὸ θαῦμα ἐμὸν γένηται· καὶ μὴ ἀλλότριον, ἐμοὶ κατέλιπε τὸ καθ' ὁμοίωσιν γενέσθαι· κατ' εἰκόνα γὰρ ἔχω τὸ λογικὸς εἶναι. (2) Γίνεται δ' ὁ ἄνθρωπος ὅμοιος Θεῷ, τοῦ κακοῦ ἀλλοτριούμενος, χρηστότητα καὶ σπλάγχνα οἰκτιρμῶν ἀναλαμβάνων καὶ ἀνεξικακίαν ἐξασκῶν· συντόμως δ' εἰπεῖν διὰ τῶν Εὐαγγελίων καὶ τοῦ Χριστιανισμοῦ· χριστιανισμὸς γάρ ἐστι «Θεοῦ ὁμοίωσις κατὰ τὸ ἐνδεχόμενον ἀνθρώπου φύσει·» διδάσκει γὰρ τὸν ἄνθρωπον τέλειον γίνεσθαι καὶ τὴν βασιλείαν τοῦ Θεοῦ ἐντὸς αὐτοῦ, ἤτοι ἐν τῇ ἰδίᾳ προαιρέσει εἶναι. (3)

99(1) Λόγ. κατ. 52 α, 6, γ. 53 α. Γ. 148 γ. 326 δ. α. 15. . 286. 6. 436 α. β. 148. 149.

(2) α. 140.—153. 236. γ. 287. 710.

(3) α. 273. δ. 239—720 πρβλ. Κλήμ. Ἀλεξ. στρωμ. 176, 6. Πλάτ. Θεαίτ. 176. 6. Φαίδ. 67 πολιτ. στ'. 500. γ. δ. ι. 613 Πλωτ. ἐνν. ά. 2, 1—7. 2, 3.— α. 150 6. 360. α. 187. δ. 298. 804. 799 809.—

§. 7. *Ἡ ψυχὴ μία ἐστὶν οὐσία.*

Ἐδείχθη ἤδη ἐν τοῖς ἡγουμένοις ὅτι ὁ Γρηγόριος μίαν Θεοῦ οὐσίαν ἀποδέχεται· καταληπτὸν δὲ τοῦτο ὡς οἷόν τε ποιήσασθαι πειρώμενος τῷ ἀνθρώπῳ παραδείγματι χρεῖται· ἕνα γὰρ καὶ τοῦτον τὴν φύσιν εἶναί φησιν ἐν πολλοῖς θεωρούμενον τοῖς ὀνόμασι. Λέγεται γὰρ Πέτρος καὶ Παῦλος καὶ Βαρνάβας οὐχ ὡς εἰ τρεῖς ἦσαν τὴν οὐσίαν ἄνθρωποι, ἀλλ' ὡς εἷς. Πέτρος γὰρ καὶ Παῦλος καὶ Βαρνάβας εἷς κατ'οὐσίαν ἄνθρωπος. Ἐν δὲ τῇ διαλεκτικῇ τῆς δόξης ταύτης κατασκευῇ ὁ Γρηγόριος φαίνεται τῇ Ἀριστοτέλους διδασκαλίᾳ ἑπόμενος· ἀποδέχεται γάρ, ὥσπερ ἐκεῖνος, οὐσίαν πρώτην (γένος) καὶ οὐσίαν δευτέραν (εἶδος)· καὶ ἐκείνῃ μὲν διακρίνει τὸν ἄνθρωπον τῶν λοιπῶν ζώων· ταύτῃ δέ, ἤτοι τῷ εἴδει, τὸ ὅ τις ἄνθρωπος διορίζεται· τοῦ δ' αὖ εἴδους ἡ μερικὴ ἢ ἰδικὴ λεγομένη οὐσία, ὅπερ Ἀριστοτέλης «τὰ ἔσχατα εἴδη» καὶ «κατὰ τὸ εἶδος ἀδιάφορα» καλεῖ, κατὰ Γρηγόριον σημαίνει τὸ τοιόνδε καὶ κατὰ συμβεβηκός, ὅπερ ἄτομον ἢ πρόσωπον ἢ ὑπόστασις, οὐχὶ δὲ οὐσία ἢ εἶδος διάφορον ὀνομάζεται· κατὰ γὰρ παντὸς μία οὐσία καὶ ἓν εἶδος κατηγορεῖται· (1) τὸ δὲ εἶδος οὐ ταὐτὸν τῷ ἀτόμῳ·

---

§. 7. (1) Γ. 17—26. Β. 82—89 α. τὸ κοινὸν — τῆς οὐσίας σημαίνει τὸ ἄνθρωπος καὶ οὐκ ἰδικὸν πρόσωπον Παύλου φερ' εἰπεῖν ἢ Βαρβάνα—Ἐπείπερ οὐσίας δηλωτικὸν τὸ ἄνθρωπος ὄνομα, εἰ δὲ τοιός δε οὐκ ἀκόλουθον συνάψαι τῷ ἄνθρωπος ὀνόματι, οὐδ' ἄρα οὐδὲ δύο ἢ τρεῖς κυρίως λέγοιμεν ἀνθρώπους. πρβλ. Ἀριστοτ. κατηγ 4. 5. Μεταφ. Ζ'. 12 περὶ ψυχ. βιβλ. β'. 4, 2. περὶ τῶν ζώων 1, 4. Μεταφ. Γ, 5. Ζ, 14 15. Η, 1.

εἰ δὲ μὴ ταὐτόν, οὐδὲ τοῖς αὐτοῖς χαρακτηρίζεσθαι πέφυκεν· εἰ δὲ μὴ τοῖς αὐτοῖς χαρακτηρίζεται, οὐδὲ τοῖς αὐτοῖς ὀνόμασι συνάπτεσθαι δυνατόν· Κατὰ τὸν ἐπιστημονικὸν τοίνυν λόγον Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν οὐκ ἄν τις ὀρθῶς ἀνθρώπους εἴποι· (λέγομεν δ', ὡς καὶ ἡ Γραφή, ἀνθρώπους καταχρηστικῶς διά τινα ἐξ ἀναγκαίων αἰτίων κρατήσασαν συνήθειαν· εἰ μὴ γὰρ ἦν γέννησις καὶ φθορὰ καὶ αὔξησις καὶ μείωσις, ἀνθρώπους οὐκ ἂν ἐλέγομεν ἀλλὰ ἄνθρωπος). Πέτρος γὰρ καὶ Παῦλος καὶ Βαρνάβας κατὰ συμβεβηκὸς ὡς ἄτομα λέγονται· ὡς οὐσία δὲ καὶ εἶδος οὐκέτι Π. καὶ Π. καὶ Β. ἀλλ' εἷς ἄνθρωπός ἐστι. (1) Ἀλλ' ὁ Ἀριστοτέλης πρὸς τὴν τοῦ Πλάτωνος ἰδέαν ἀντιλέγων πολλὰς οὐσίας μερικὰς ἐδίδασκεν· ἐπεὶ δὲ τὰ καθέκαστα ἄπειρα, τῶν δ' ἀπείρων λαβεῖν ἐπιστήμην οὐκ ἐνδέχεται, ταύτης χάριν τύπον ἢ εἶδος ἀνάγκῃ φερόμενος ἀντὶ τῆς ἰδέας ἀπεδέξατο· τοῦτο δὲ τὸ εἶδος φύσει ἀδύνατον ἄνευ τοῦ οὗ ἐστιν εἶδος εἶναι ἔλεγε· τῆς δὲ τοιαύτης τοῦ Ἀριστ. περὶ τοῦ «τί ἦν εἶναι» θεωρίας ἥκιστα μίαν ψυχῆς οὐσίαν ἀποδεικνύσης, ὁ Γρηγόριος Πλωτίνῳ ἑπόμενος μίαν νοεῖ ψυχῆς οὐσίαν τὸν Θεὸν παραγαγεῖν. Ἐν γὰρ τῷ «περὶ κατασκευῆς ἀνθρώπου» τὴν πρώτην τοῦ Θεοῦ δημιουργικὴν βουλὴν «ποιήσωμεν ἄνθρωπον» ἑρμηνεύων λέγει τῷ ἀορίστῳ ὀνόματι «ἄνθρωπον» τὸν καθόλου σημαίνεσθαι ἄνθρωπον· «γέγονεν οὖν, φησι, κατ' εἰκόνα ὁ ἄνθρωπος ἡ καθόλου

---

(1) Γ. 17. δ. 18. α. 25. 28. 29. Β. 84. πρὸς Εὐν. 513.— Α 80. 81. 138. 378. 456. πρβλ. Huber σελ. 199.

φύσις — γέγονε δὲ τῇ παντοδυνάμῳ σοφίᾳ οὐχὶ μέρος τοῦ ὅλου, ἀλλ' ἅπαν ἀθρόως τὸ τῆς φύσεως πλήρωμα·» καὶ «ἐποίησε τὴν ἀνθρωπίνην φύσιν κατ' ἀρχὰς μετὰ πάντων ὁ τὸ πᾶν συστησάμενος.» Ἀλλὰ τῇ προγνωστικῇ αὐτοῦ δυνάμει προϊδὼν τοῦ ἀνθρώπου τὴν πρὸς τὸ ζωῶδες ἐπίκλισιν ἀριθμόν τε τῆς τῶν ψυχῶν ἐπαυξήσεως τῷ τῆς οὐσίας πληστηριασμῷ ὡρίσατο καὶ τρόπον ἐνομοθέτησε, μετενεγκὼν ἐπὶ τὸν ἄνθρωπον τὰ τῆς ἀλόγου φύσεως ἰδιώματα, ἅπερ ἡ ἀνθρωπίνη φύσις ἀναγκαῖα ἐποίησε· τὸ δὲ μίαν εἶναι τὴν τῆς ψυχῆς οὐσίαν δῆλον ἐκ τῆς εἰκόνος. Πᾶσα γὰρ ἡ ἀνθρωπίνη φύσις εἰκών ἐστι Θεοῦ· ἐπειδὴ πᾶσιν ὁ νοῦς ἐγκαθίδρυται καὶ πάντες τοῦ προβουλεύειν τὴν δύναμιν ἔχουσι. Κατ' αὐτὴν ἄρα τὴν οὐσίαν διαφορὰ οὐκ ἔστι· μερίζεται δὲ ἡ φύσις κατὰ τὸν ἔξω ἄνθρωπον εἰς ἄρρεν τε καὶ θῆλυ καὶ πρόσωπα καὶ ὑποστάσεις, ἃ περὶ τὴν οὐσίαν θεωρεῖται, κατὰ συμβεβηκός, καθ' ὅπερ ἕκαστον ἄτομον τῆς οὐσίας μετέχει. (1)

---

(1) Ἀριστ. Μεταφ. β'. 6. Ζ. 4. 8. 13. 16. κατηγ. 5. 2, 10. πρβλ. Preller N⁰ 307. Γρηγ. Α. 101. γ. 102. 85. 87. 88. 91. Πρὸς Εὐν. 513, Α. 103. Ἡ τοῦ Γρηγ. διδασκαλία περὶ τοῦ ὡρισμένου τῶν ψυχῶν ἀριθμοῦ κοινή ἐστι Πλάτωνι καὶ Ὠριγένει· καὶ γὰρ καὶ οὗτοι ὡρισμένον ψυχῶν ἀριθμὸν ἐδίδασκον, ἀλλ' οὔτε δυνάμει τὰς μὲν τὰς δ' ἐνεργείᾳ, ἀλλ' ἁπάσας ἐνεργείᾳ, οὔτε ἐν τῇ μιᾷ τῆς ψυχῆς οὐσίᾳ περιωρισμένας ἐξελάμβανον· ταῦτα γὰρ ἴδια τοῦ Γρηγορίου ἐστὶ δόγματα, ἐκ τῶν τοῦ Πλωτίνου τὴν ἀρχὴν ἔχοντα.—Α. 88. 90. 102. Γ. 704. 708. Περὶ ψυχ. καὶ ἀν. 258. Β. 102. πρβλ. Πλωτ. ἐνν. δ'. 1, 1.— ε'. 4, 8. 5, 22—24. ἑ. 9, 1.—

Ἀκριβέστερον δ' ἔτι ἐκτίθησιν ὁ Γρηγόριος τὴν περὶ μιᾶς οὐσίας ψυχῆς δόξαν αὐτοῦ ἐν τῷ ἀντιρρητικῷ πρὸς Εὐνόμιον λόγῳ· ἀναιρῶν γὰρ τοῦτον καὶ τὸν μεταφυσικὸν τοῦ Θεοῦ λόγον πάντοτε σὺν τῷ πατρὶ εἶναι πειρώμενος δεῖξαί φησιν «οὐδὲ γὰρ ἐπὶ τῶν ἀνθρώπων κυρίως ἐστὶν εἰπεῖν ὅτι οὐκ ὤν τις ἐγεννήθη· Λευὶ γὰρ πρὸ πολλῶν γενεῶν τῆς κατὰ σάρκα ἑαυτοῦ γεννήσεως ὑπὸ τοῦ Μελχισεδὲκ δεδεκάτωται· οὕτω γάρ φησιν ὁ Ἀπόστολος (Ἑβρ. 7, 1—9) ὅτι ὁ τὰς δεκάτας λαμβάνων δεδεκάτωται· καὶ τὴν ἀπόδειξιν τοῖς λεγομένοις ἐπήγαγεν, ὅτι ἐν τῇ ὀσφύι τοῦ πατρὸς αὐτοῦ ἦν, ὅτε Ἀβραὰμ τῷ ἱερεῖ τοῦ ὑψίστου συνήντησεν. Εἰ οὖν ἄνθρωπος τρόπον τινὰ ὢν γεννᾶται κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν διὰ τοῦ κοινοῦ τῆς οὐσίας ἐν τῷ γεγεννηκότι αὐτὸν προϋφεστώς,—» καὶ «ὁ —Ἀδὰμ καὶ ὁ Ἄβελ ἐν μὲν τῷ λόγῳ τῆς φύσεως εἷς οἱ δύο εἰσὶ — οὐκοῦν οὐκ ἔστι κυρίως εἰπεῖν ὅτι ὁ Ἀδὰμ οὐσίαν παρ' αὐτὸν ἄλλην ἐγέννησεν, ἀλλὰ μᾶλλον ὅτι ἐξ ἑαυτοῦ ἐγέννησεν ἄλλον ἑαυτόν, ᾧ πᾶς ὁ τῆς τοῦ γεννήσαντος οὐσίας συναπηνέχθη λόγος·» καὶ «διὰ πάντων χωροῦσα ἡ φύσις, δι' ὧν ἡ ἀνθρωπίνη ζωὴ τὴν κατασκευὴν ἔχει, οὕτως εἰς γέννησιν τὸ μὴ ὂν ἄγει, καὶ διὰ τοῦτο μὴ ὂν γίνεσθαι λέγομεν, ὅτι ἔν τινι χρόνῳ μὴ ὂν ἐν ἄλλῳ χρόνῳ τοῦ εἶναι ἄρχεται.» (1)

---

(1) Πρὸς Εὐν. 416· 417. 415, δ. 448—515 γ. 519. 520. 538. 6. 628. γ. Τίς οὐκ οἶδεν ὅτι πλῆθος μὲν ἄπειρον τῶν ἀνθρωπίνων ἐστὶ ψυχῶν, οὐσία δὲ πάσαις ὑπόκειται μία —; 446. γ. ἄνθρωπος μὲν ἐξ ἑαυτοῦ τίκτων ἄνθρωπον οὐ μερίζει τὴν

Ὁ δὲ πρὸ τούτου ἀκμάσας Πλωτῖνος, ὃς περὶ τῆς ψυχῆς τὸ πολὺ λέγων καὶ σκοπούμενος διετέλει (1), πολλὰς περί τε τῆς οὐσίας καὶ τῶν λοιπῶν τῆς ψυχῆς ἀποριῶν συγγραψάμενος, ὧδε περὶ τῶν καθ' ἕκαστα ψυχῶν ἀποφαίνεται· «καὶ αὖ ἦλθεν ἄλλο εἰς τὸ λαβεῖν ψυχὴν καὶ ἐξ ἀφανοῦς αὖ καὶ τοῦτο ἔχει, ὅπερ ἦν καὶ ἐν τοῖς ἄλλοις· οὐδὲ γὰρ οὕτω προητοίμαστο, ὥστε μέρος αὐτῆς ὧδὶ κείμενον εἰς τοῦτο ἐλθεῖν, ἀλλὰ τὸ λεγόμενον ἥκειν ἦν ἐν παντὶ ἐν ἑαυτῷ καὶ ἔστιν ἐν ἑαυτῷ καί τοι δοκοῦν ἐνταῦθα ἐλθεῖν —» καὶ «ἀφ' ἑνὸς ἀρξαμένας (τὰς ψυχὰς) καὶ μενούσας ὅθεν ἤρξαντο, μᾶλλον δὲ οὐδὲ ἤρξαντο, ἀλλ' οὕτως εἶχον ἀεί· οὐδὲν γὰρ γινόμενον ἐκεῖ· οὐδὲ μεριζόμενον τοίνυν, ἀλλὰ δοκεῖ μερίζεσθαι τῷ λαβόντι· ἡμεῖς δὲ — τίνες ἡμεῖς; ἆρα ἐκεῖνο, ἢ τὸ πελάζον καὶ τὸ γινόμενον ἐν χρόνῳ; ἢ καὶ πρὸ τοῦ ταύτην τὴν γένεσιν γενέσθαι ἦμεν ἐκεῖ ἄνθρωποι ἄλλοι ὄντες καί τινες καὶ θεοί, ψυχαὶ καθαραὶ καὶ νοῦς συνημμένος τῇ ἁπάσῃ οὐσίᾳ, μέρη ὄντες τοῦ νοητοῦ οὐκ ἀφωρισμένα, ἀλλ' ὄντες τοῦ ὅλου· οὐδὲ γὰρ οὐδὲ νῦν ἀποτετμήμεθα, ἀλλὰ γὰρ νῦν ἐκείνῳ τῷ ἀνθρώπῳ προσελήλυθεν ἄνθρωπος ἄλλος εἶναι θέλων καὶ εὑρὼν ἡμᾶς· ἦμεν γὰρ τοῦ παντὸς οὐκ ἔξω. (2)

φύσιν, ἀλλὰ καὶ ἐν τῷ γεννήσαντι καὶ ἐν τῷ γεννηθέντι ὅλη ἐστίν, οὐκ ἐκ τούτου πρὸς ἐκεῖνον ἀποσχιζομένη καὶ μεθισταμένη, οὐδὲ ἐν τούτῳ κολοβουμένη, ὅταν ἐν ἐκείνῳ τελεία γένηται, ἀλλὰ καὶ πᾶσα ἐν τούτῳ οὖσα καὶ πᾶσα ἐν ἐκείνῳ εὑρισκομένη.» —

(1) Πλωτ. ἐνν. δ'. 3, 1.

(2) Ἔπιθι Πλωτ. ἐνν. ς'. 4, 12. 14. πρβλ. ς'. 4, 1—16. 5, 17—18. Περὶ δὲ τοῦ ἀμερίστως μερίζεσθαι τὴν ψυχὴν ὁ Πλω-

Ἐκ τούτων δῆλον ὅτι ὁ Γρηγόριος ἐν τοῖς περὶ ψυχῆς πάντων μάλιστα τῷ νέῳ Πλατωνικῷ Πλωτίνῳ ἀκολουθεῖ· ἀλλ' οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε τὰ ἐκείνῳ δόξαντα ἀποδέχεται· ἀντιλέγει γὰρ πρὸς τὴν τοῦ κόσμου ψυχήν, ἣν ὁ Πλωτῖνος διδάσκει, τὰς ταύτης ἐνεργείας φυσικαῖς τισι δυνάμεσιν ὑπὸ τοῦ Θεοῦ ἐμβληθεῖσιν ἀποδιδούς, ἀπορρίπτει τὰς ἀϊδίους μετεμψυχώσεις καὶ κατὰ τὸ μέτρον τῆς ἱερᾶς αὐτοῦ φιλοσοφίας πᾶσαν τὴν διδασκαλίαν ἐπαινεῖ ἢ ψέγει. Καὶ περὶ μὲν τῆς λοιπῆς διδασκαλίας οὐ τοῦ παρόντος λέγειν. Τὴν δὲ περὶ μιᾶς οὐσίας ψυχῆς δόξαν παρὰ Πλωτίνου παραλαβὼν οὕτως ἐπεξειργάσατο καὶ τοιαύτην αὐτῇ μορφὴν δοῦναι ἐπειράθη, ὡς εἰπεῖν πρωτότυπον τοῦ Γρηγορίου εἶναι ἰδέαν· τὸ γὰρ τὴν ψυχὴν γέννησιν ἐκ τῆς οὐσίας τοῦ νοῦ ἐξ ἀνάγκης εἶναι ἀφελὼν γενητὴν καὶ κτιστὴν ταύτην καλεῖ, ἐξ ἀγάπης καὶ ἀγαθότητος ὑπὸ τοῦ Θεοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἀθρόως παραχθεῖσαν· τοῦ δ' οὐρανοῦ καὶ τοῦ παντὸς ἀποσπῶν ἐν μόνῳ τῷ ἀνθρωπίνῳ περιορίζει σώματι· οὐ γὰρ αἰσχρὸν καὶ κακὸν ἡ ὕλη, ὡς Πλωτίνῳ δοκεῖ· κτίσμα γὰρ αὕτη Θεοῦ. (1)

τίνος τὸ φῶς καὶ τὴν φωνὴν παράδειγμα προβάλλει. ἐνν. ϛ'. 4, 7. 8. 12. τοῦτο ὁ Γρηγόριος ποιεῖ ῥητῶς ἐπὶ τῆς θείας φύσεως. Πρὸς Εὐν. 396. 397. ἀλλὰ καὶ ἐπὶ τῆς ψυχῆς οὐχ ὅλως ἀπάδουσαν εὑρίσκει τὴν φωνὴν πρὸς κατάληψιν τοῦ ἀμερίστου μερισμοῦ B. 103 γ.

(1) Περὶ ψυχῆς ὁ Πλωτῖνος τὴν πραγματείαν ποιεῖται μάλιστα ἐν ἐνν. δ'. 1, 1— δ'. 4, 1. 2. ϛ'. 4, 16. 17. 28. δ'. 9, 1—5. 3, 1—17 ε 7, 28. πρβλ. Richter Heft IV.—

ΣΗΜ. Ὁ Γρηγόριος ὡρισμένον ψυχῶν ἀριθμὸν ἀποδεχόμενος προσγράφει τῇ οὐσίᾳ τῆς ψυχῆς τὴν δύναμιν τοῦ ἀμερίστως μερίζεσθαι μέχρι τοῦ προεγνωσμένου ὑπὸ τοῦ Θεοῦ ἀριθμοῦ· ἡ μὲν οὖν οὐσία τῶν ψυχῶν ἁπασῶν ἔστιν ἥδη· διττῶς δὲ θεωρητέον τὸν ταύτης πληστηριασμόν· ὡς πρὸς γὰρ τὸν τὰ μέλλοντα ὁμοίως τοῖς ἐνεστῶσιν ὁρῶντα Θεὸν αἱ ψυχαὶ συνεπληρώθησαν, ὡς πρὸς ἡμᾶς δὲ οὔπω πᾶσαι. Τοῦ δ' ἀμερίστως τὴν ψυχὴν μερίζεσθαι ἀπόδειξιν ποιεῖται ὁ Γρηγόριος, ὡς καὶ ἐν τῷ κατ' εἰκόνα, αὐτὸν τὸν νοῦν τὸν ἐν πᾶσιν ἐκφαινόμενον· «ὁ ἐξ ἐκείνου γεννηθείς, φησι, τῷ αὐτῷ τῆς οὐσίας ὑπογράφεται λόγῳ· εἰ δὲ ἄλλη τις ἡ γεννηθεῖσα οὐσία παρὰ τὴν μὴ γεννηθεῖσαν κατεσκευάζετο, οὐκ ἂν ἐπ' ἀμφοτέρων ὁ αὐτὸς τῆς οὐσίας (τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ) ἥρμοσε λόγος· ὧν γὰρ ἡ οὐσία διάφορος, τούτων οὐδὲ ὁ λόγος ἐστὶν ὁ αὐτὸς τῆς οὐσίας· ἐπεὶ οὖν τοῖς αὐτοῖς χαρακτηρίζεται ἰδιώμασιν ἥ τε τοῦ Ἀδὰμ καὶ ἡ τοῦ Ἄβελ οὐσία πᾶσα ἀνάγκη μίαν μὲν ἐπ' ἀμφοτέρων οὐσίαν εἶναι συντίθεσθαι...» Πρὸς Εὐν. 513. 515. 446. 447. (1)

§. 8. *Ψυχῆς ὁρισμὸς καὶ δυνάμεις.*

Καθ' ἃ ἐν § 6 εἴπομεν, τῆς ψυχῆς ἡ οὐσία, ὥσπερ καὶ ἡ τοῦ Θεοῦ, λόγῳ καὶ ὁρισμῷ διασημανθῆναι οὐχ οἵα τέ ἐστιν· ἐκ δὲ τῶν ἐνεργειῶν ὑπογραφήν τινα τῆς φύσεως ὁ Γρ. τῆς ψυχῆς δοῦναι πειρώμενος ἀποφατικῶς μὲν ταύτην φησὶν οὐσίαν ἄϋλον καὶ ἀσώματον· (2) καταφατικῶς δὲ

---

(1) Περὶ δὲ τῆς ὕλης ὅρ. § 2. καὶ Α. 91. 102.

(2) Περὶ ψυχ. καὶ ἀν. 189. 194 Β. ὁ-ὅ,τί ἐστι γνῶναι βουλόμενος ἱκανῶς ἂν εὕροι τὸ μὴ τοῦτο μαθεῖν εἶναι αὐτὸ (ἡ ψυχή), ὃ καταλαμβάνει ἡ αἴσθησις· μή χρῶμα μὴ σχῆμα, μὴ ἀντιτυπίαν, μὴ βάρος... μηδέ τι τῶν περὶ τὴν ὕλην καταλαμβανο-

ταύτην ὁρίζεται ὧδε· «ψυχή ἐστιν οὐσία γενητή, οὐσία ζῶσα, νοερά, σώματι ὀργανικῷ καὶ αἰσθητικῷ δύναμιν ζωτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν δι' ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ τούτων συνεστηκυῖα φαίνοιτο φύσις.» (1) Δηλοῖ δὲ τὸ μὲν «γενητὴ» τὸ τῆς ψυχῆς κτιστόν· «ζῶσα» δὲ τὴν ἐν αὐτῇ ὑπάρχουσαν ζωήν· «νοερὰ» δὲ τὸ ἄϋλον καὶ παντὸς τῇ αἰσθήσει προσπίπτοντος ἐκτὸς εἶναι· τὰ δὲ τρία ταῦτα εἰς τὴν τῆς οὐσίας περιγραφὴν ἀναφέρεται· τὸ δὲ «σώματι ὀργανικῷ κ. ἑ.» τὰς ἐν τῷ σώματι ἐνεργείας ἐκφράζει. ὡς οὐσία τοίνυν ἄλλη παρὰ

μένων ὅλως μηδέν. α. 196, δ. 197. α. 66. β. γ. 625 δ. ἄϋλόν τε εἶναι καὶ ἀειδῆ καὶ νοερὰν καὶ ἀσώματον.» πρβλ. Πλωτ. ἐνν. δ'. 2, 1. 7, 1—14.

(1) Περὶ ψυχ. καὶ ἀν. 189. γ. λόγ. κατ. 46. β.=Πλωτ. ἐνν. δ'. 8, 3. 7, 8. Καταλλήλως ἐνταῦθα ὁ Γρ. καὶ οὐκ ἄνευ τινὸς πολεμικοῦ σκοποῦ τὴν ψυχὴν *γενητὴν* ὀνομάζει· Κατὰ γὰρ τὸ φαινόμενον συμμαχῶν τοῖς δόγμασι τῶν ἐναντίων (περὶ ψυχ. καὶ ἀν. 184 β.) ἐκ τῶν ἀποδιδομένων τῇ ψυχῇ ἰδιοτήτων ἀτόπως ὑπέλαβεν ταύτην ταὐτὸν εἶναι τῷ Θεῷ· αὐτ. 195. «Οὐκοῦν, εἶπον, ἐξ ἀτόπου μεταλαμβάνομεν ἕτερον ἄτοπον διὰ τῆς ἀκολουθίας ταύτης· περιῆκται γὰρ ὁ λόγος ἡμῖν εἰς τὸ ταὐτὸν οἴεσθαι τῇ θείᾳ φύσει καὶ τὸν νοῦν τὸν ἡμέτερον—» ἡ δ' ἀδελφὴ αὐτοῦ ἐπανορθοῦσα τὸν Γρηγόριον, «μὴ ταὐτὸν εἴπῃς, φησὶν ἡ διδάσκαλος· ἀσεβὴς γὰρ καὶ οὗτος ὁ λόγος· ἀλλ' ὡς ἐδιδάχθης παρὰ τῆς θείας φωνῆς, ὅμοιον εἰπὲ τοῦτο ἐκείνῳ· τὸ γὰρ κατ' εἰκόνα *γενόμενοι*—» αὐτ. Ταὐτὸν δὲ τῷ Θεῷ ἐνόμιζον τὴν ψυχὴν οἱ Μανιχαῖοι, οὓς ὁ Γρ. πολεμεῖ ἐν τοῖς Β. 90. 91. 103. 104. Περὶ ψυχ. καὶ ἀν. 239—καὶ ἐν τῷ ἀντιρ. πρὸς Εὐν., καὶ ὁ Πλωτῖνος ἐνν. δ'. 7, 8. 10. ε'. 8, 1.

τὸ σῶμα ἡ ψυχὴ ἀεὶ ζῇ καὶ νοεῖ· ὡς δ' ἐν ὀργάνῳ ζῇ τε καὶ αἰσθάνεται καὶ νοεῖ, ἕως ἂν τὸ ὄργανον δεκτικὸν ᾖ τῶν ταύτης ἐνεργειῶν· ἐπειδὰν δὲ παύσηται τοιοῦτον ὄν, εἰ μὲν μέρος, τοῦτο ἄψυχον λέγεται· εἰ δὲ ὅλον, ὅλον τε τῶν τῆς ψυχῆς ἐνεργειῶν στερεῖται καὶ ὅλον εἰς φθορὰν μεταπίπτει· (1)

Οὕτω δὲ τὴν ψυχὴν ὁριζόμενος ὁ Γρ. τό τε θρεπτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὸ λογικὸν συμπεριλαμβάνει· ἔστι δὲ τὰ δόγματα ταῦτα Πλάτωνος καὶ τῶν μετὰ τοῦτον, οἳ τρία μὲν ψυχῶν εἴδη ἐφαντάσθησαν, οὐ μὴν καὶ τηλαυγῶς κατενόησαν, ὡς ὁ θεόπνευστος Μωσῆς· ὅς, φησιν ὁ Γρηγόριος, τὸν ἄνθρωπον μετὰ τὰ φυτὰ καὶ τὰ ζῶα δεδημιουργεῖσθαι ἱερῶν περὶ ψυχῆς φιλοσοφεῖ· «ἐπ' ἀναγκαίᾳ γάρ τινι τῆς τάξεως ἀκολουθίᾳ τὸ τέλειον ἐν τελευταίοις βλέπει. Ἐπειδὴ γὰρ προϋπέστη ἐν μὲν τοῖς φυτοῖς ἡ φυτική, ἐν δὲ τοῖς ἀλόγοις τῶν ζώων ἡ αἰσθητικὴ ζωή, τότε κατακιρνᾶται διὰ πάσης ψυχῶν ἰδέας τὸ λογικὸν ζῶον ὁ ἄνθρωπος, «ὡς ἐν τοῖς τρισὶ τούτοις τὴν σύστασιν ἔχειν·» τρέφεταί τε γὰρ κατὰ τὸ φυτικὸν τῆς ψυχῆς εἶδος καὶ αἰσθάνεται ὡς τὰ ζῶα καὶ τῷ λογικῷ ἐνθεωρεῖ τὸ τέλειον τῆς κατὰ θεὸν πολιτείας. (2)

Ἀλλ' ἐπειδὴ νόμος καὶ κανὼν ἡ ἁγία Γραφή, ἧς ἡ διδασκαλία ὑπερτέρα λογισμῶν, ὁ Γρηγόριος ἐπάγεται καὶ ἄλλας ἐξ αὐτῆς μαρτυρίας, ἵνα τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις δείξῃ. Ὁ γὰρ Ἀπόστολος ἐν τῇ πρώτῃ πρὸς

---

(1) Α. 66—72.

(2) Α. 59, β. 60. 61. πρβλ. Πλάτ. Τιμ. σ. 77. β. Πολιτ. δ'. 440. 441. Πλωτ. ἐνν. δ'. 3, 4. 51—54. γ'. 4, 2.

Θεσσαλονικεῖς ἐπιστολῇ φησιν «ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα (5, 23)·» Ἰησοῦς δὲ ὁ Χριστὸς πρὸς τὸν νομικόν, «ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου» (Μάρκ. 12, 30. Ματθ. 22, 37.) Ἑρμηνεύων δὲ ταῦτα ὁ Γρ. λέγει τῷ σώματι μὲν καὶ τῇ καρδίᾳ τὴν φυτικήν· τῇ δὲ ψυχῇ τὴν αἰσθητικὴν καὶ τῷ πνεύματι ἢ τῇ διανοίᾳ τὴν λογιστικὴν τῆς ψυχῆς δύναμιν παρασημαίνεσθαι· (1) διὸ καὶ τρεῖς προαιρέσεων διαφορὰς ὁ Ἀπόστολος οἶδε, κατὰ τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις· ἡ μὲν γάρ ἐστι σαρκική, ἡ δὲ ψυχική, ἡ δὲ πνευματικὴ καὶ τελεία. (2) Καί τοι δ' ἐνταῦθα ψυχῶν σύγκριμα διδάσκει καὶ ἀλλαχοῦ Πλάτωνι ἑπόμενος διά τινας αἰτίας ψυχῆς δύναμιν μίαν ἔν τισι τῶν ἀνθρώπων ὑπάρχειν φησίν, (3) ἀλλαχοῦ τὸ σύγκριμα εἶναι διαρρήδην ἀποβάλλει· «μηδεὶς γὰρ διὰ τούτων ὑπονοείτω, φησί, τρεῖς συγκεκροτῆσθαι ψυχὰς ἐν τῷ ἀνθρωπίνῳ συγκρίματι ἐν ἰδίαις περιγραφαῖς θεωρουμένας, ὥστε συγκρότημά τι πολλῶν ψυχῶν τὴν ἀνθρωπίνην φύσιν εἶναι νομίζειν· ἀλλ' ἡ μὲν ἀληθής τε καὶ τελεία ψυχὴ μία τῇ φύ-

---

(1) Περὶ τῆς ἁγ. Γραφῆς ἴδε περὶ ψυχ. καὶ ἀν. 200—101. Πρὸς Εὐν. 798. πρβλ. Rupp. p 253—258.—A. 60 γ. δ. 61. α—γ.

(2) Αὐτ. πρβλ. Κορ. ά. 2. 3.

(3) B. 28. δ. 29. α. Τινὲς τῶν ἀνθρώπων ἔκ τινος πολλάκις αἰτίας ψυχὴν μὲν ἔσθ' ὅτε ἔχοντες, νοῦν δὲ ἢ λόγον μὴ ἔχοντες· ἕτεροι δὲ πάλιν ψυχῆς καὶ λόγου εὐποροῦντες, νοῦ δὲ καθόλου ἀποροῦντες· ἄλλοι πάλιν νοῦν καὶ ψυχὴν ἔχοντες τοῦ δὲ λόγου ἐστερημένοι» πρβλ. Πλάτ. Πολιτ. δ'. 440. ε. 441. β. Τιμ. 77 β.

σει ἐστίν, ἡ νοερὰ καὶ ἄϋλος, ἡ διὰ τῶν αἰσθήσεων τῇ ὑλικῇ καταμιγνυμένη φύσει. Α. 81. α. 6. γ.» Τὴν θρεπτικὴν δ' αὖ καὶ τὴν αἰσθητικὴν ψυχὴν ἐκ τῆς ἀλόγου φύσεως τῇ λογικῇ συγκαταμιγείσας ψυχῇ νοῶν, οἱονεὶ ἐπανορθῶν ἑαυτὸν αὖθίς φησι ταύτας οὕτως ὑπὸ τοῦ Θεοῦ ἀρχῆθεν συνῆφθαι, ὡς μίαν ἀποτελεῖν ψυχὴν τὴν λογικήν, μεθ' ἧς ἡ θρεπτικὴ καὶ αἰσθητικὴ ὥς τινες δυσαποσπάστως ἔχουσαι δυνάμεις συνθεωροῦνται, μηδόλως τῇ φθορᾷ ὑποκείμεναι· (1) ὤθησε δὲ τὸν Γρ. εἰς τὴν τοιαύτην τροποποίησιν τῆς διδασκαλίας αὐτοῦ ἡ τῶν Ἀρειανῶν καὶ τοῦ Ἀπολλιναρίου περὶ τοῦ τρόπου τῆς γεννήσεως τῶν ψυχῶν θεωρία (ἴδ. κατωτ.). Σαφέστερον δὲ δείκνυται τοῦτο ἐν τῇ ἑτέρᾳ τῶν τῆς ψυχῆς δυνάμεων ὑποδιαιρέσει.

Πλάτων γὰρ διέκρινεν ὡς δυνάμεις τῆς ψυχῆς τὸ λογικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδές· τούτων δὲ τῇ ψυχῇ ἐπίσης συνθεωρουμένων ὁ Γρηγόριος τοῦ ἐπιθυμητικοῦ καὶ θυμοειδοῦς ἔρημον ταύτην εἶναι οὔ φησιν. Ἐπειδὴ δὲ νοερὰ καὶ ἀσώματα ταῦτα, τὰς τῶν ἀντιλεγόντων

---

(1) Α. 136—138. 137 γ. «ὁδῷ τινι καὶ ἀκολουθίᾳ — ἐπὶ τὸ τέλειον ἄγει τὸν ἄνθρωπον — οὐκ ἄλλης ἐν τῷ ἀνδρὶ ψυχῆς ἐπεισελθούσης παρὰ τὴν ἐν τῷ μειρακίῳ νοουμένην ἡ νηπιωδεστέρα καταργεῖται διάνοια καὶ ἡ ἀνδρώδης ἐγγίνεται, ἀλλὰ τῆς αὐτῆς ἐν ἐκείνῳ μὲν τὸ ἀτελὲς ἐν τούτῳ δὲ διαδεικνυούσης τὸ τέλειον·» 81—82. 76 γ. οὐδὲ — ἐνδέχεται συνδιασπασθῆναι τὴν κατὰ φύσιν ἑνότητα· οὐ γὰρ ἐνδέχεται τὸ ἅπαξ συμπεφυκὸς διατέμνεσθαι. 77. 78 α. πρβλ. περὶ ψυχ. καὶ ἀν. 205—206. Α, 79 δ. 80. 82.

προλαμβάνων ἐνστάσεις δυοῖν θάτερόν φησιν, ἢ καὶ ταῦτα συνῳδὰ τῷ τῆς ψυχῆς ὁρισμῷ ψυχὰς ἐν ἡμῖν νοεῖν, ἢ μηδὲ τὸ διανοητικὸν ψυχὴν οἴεσθαι εἶναι· «τὸ γὰρ νοερὸν ἐπίσης πᾶσιν ἐφαρμοζόμενον ἢ πάντα ψυχὰς ἀποδείξει ταῦτα, ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει»· (1) προϊὼν δ' ἐλέγχει τοὺς τὰ τοιαῦτα προβαλλόντας, τὸ ἐπιθυμητικὸν καὶ θυμοειδὲς τῆς ψυχῆς πάθη καὶ οὐ μέρη λέγων. Ἐπειδὴ γὰρ εἰκὼν Θεοῦ ἡ ψυχή, ἐν δὲ τῷ Θεῷ οὐδὲν τούτων θεωρεῖται, οὐδὲ συνεδημιουργήθη ἄρα τῇ ψυχῇ τὸ ἐπιθυμητικὸν καὶ θυμοειδές, ἀλλ' ἐπεγένετο ταύτῃ ὡς πάθη· δῆλον δὲ καὶ ἐκ τοῦ παρὰ τοῖς ἔξω ὁρισμοῦ τοῦ ἀνθρώπου· ζῶον γὰρ αὐτὸν λογικόν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν ὁριζόμενοι, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν οὐ συμπεριλαμβάνουσι τῷ ὁρισμῷ, ὡς ἔξω τοῦ ἰδιάζοντος τῷ ἀνθρώπῳ ὄντων· ἔτι δὲ «μάχη τίς ἐστι τοῦ λογισμοῦ πρὸς ταῦτα καὶ σπουδὴ

---

(1) Περὶ ψυχ. καὶ ἀν 199—200 α. Οἱ νέοι Πλατωνικοὶ τὰς δυνάμεις τῆς ψυχῆς ψυχὰς χωριστὰς νομίζοντες πολλῶν ψυχῶν συγκρότημα ἐν ἑνὶ ἀτόμῳ ἀπεδέχοντο· ἐκάλουν δὲ τοῦτο «πλῆθος, ὄχλον, δῆμον.» Εὖ—ἴσθι τοῦτό, φησιν ὁ Συνέσιος, ὡς οὐχ ἁπλοῦν τι χρῆμα, οὐδὲ μονοειδὲς ἄνθρωπος, ἀλλὰ συνῴκισεν ὁ Θεὸς εἰς ἑνὸς ζώου σύστασιν ὄχλον δυνάμεων παμμιγῆ τε καὶ πάμφωνον· καὶ ἐσμὲν ὕδρας, οἶμαι, θηρίον ἀτοπώτερον, καὶ μᾶλλόν τι πολυκέφαλον· οὐ γὰρ ταὐτῷ δήπου νοοῦμεν καὶ ὀρεγόμεθα καὶ λυπούμεθα, οὐδὲ ταὐτῷ καὶ θυμούμεθα, οὐδὲ ὅθεν ἡδόμεθα καὶ φοβούμεθα—» παρὰ Κραβιγγέρῳ σελ. 215. τούτοις ἀντιλέγων ὁ Γρηγ. μίαν ψυχὴν ἐκ πολλῶν συνισταμένην δυνάμεων διδάσκει. Α. 125. δ.—

τοῦ μονωθῆναι τὴν ψυχὴν τούτων ὡς οἷόν τε ἦ.» Μωσῆς δ' ἐκτὸς τούτων γενέσθαι ἱστορεῖται· «ὅπερ οὐκ ἂν ἐγένετο, εἰ φύσις ἦν ταῦτα καὶ εἰς τὸν λόγον τῆς οὐσίας ἀνήγετο· οὐ γὰρ ἔστι δυνατὸν τὸν ἔξω γεγονότα τῆς φύσεως ἐν τῷ εἶναι μένειν· ἀλλὰ μὴν ὁ Μωϋσῆς καὶ ἐν τῷ εἶναι ἦν καὶ ἐν τούτοις οὐκ ἦν· δῆλον οὖν ὅτι τῶν ἔξωθεν ἐπιθεωρουμένων ἐστὶ ταῦτα πάθη τῆς φύσεως καὶ οὐκ οὐσία.» (1) Ἐπειδὴ δ' ἡ ἁγία Γραφὴ περί τε τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας λόγον ποιεῖται· ὁ γὰρ Δανιὴλ διὰ τὴν ἐπιθυμίαν ἐπαινεῖται, ὁ δὲ Φινεὲς τῷ θυμῷ τὸν Θεὸν ἱλεώσατο κ. τ. τ., ὁ Γρηγόριος προϊών φησι τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν πάθη μὲν ψυχῆς λέγεσθαι, ἀλλὰ κατ' ἀλήθειαν πάθη μὴ εἶναι, ὁρμὰς δὲ ἢ κινήσεις ψυχῆς ἐν μεθορίῳ ἀρετῆς καὶ κακίας κειμένας· εἰ μὲν οὖν τὸ λογικὸν τῆς ψυχῆς τούτων ἡγεμονεύοι, ἀρετῆς ἐφόδιον γίνεται τὰ ἐκ τῆς ἀλόγου φύσεως συγκληρωθέντα ἰδιώματα· «εἰ δ' ἀποβάλοι τὰς ἡνίας ὁ λόγος καὶ οἷόν τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπην ὑπ' αὐτοῦ σύροιτο ἐκεῖ ἀπαγόμενος, ὅπου περ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ, τότε εἰς πάθος αἱ ὁρμαὶ καταστρέφονται. (2)

Ἡ τοῦ ἀνθρώπου ἄρα ψυχή, κατὰ Γρηγόριον, οὐσία ἐστὶ μία ἡ λογική· τὸ δὲ ταύτῃ συνθεωρούμενον θρεπτικὸν καὶ αἰσθητικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς οὐκ ἔστι ψυχὴ ἑτέρα, ἀλλ' ἢ δυνάμεις συμφυεῖς ἐκ τῆς ἀλό-

---

(1) Περὶ ψυχ. καὶ ἀν. 202 α—204.

(2) Αὐτ. 204 β. πρβλ. Δανιὴλ 9, 23. 10. 11. 19. Ἀριθ. 25, 11. παροιμ. Σολ. 9, 10. Πλάτ. Φαίδρ. σελ. 253. γ.

γου φύσεως τῇ λογικῇ συγκαταμιγεῖσαι ψυχῇ, ἢ πάθη, ἢ ὁρμαὶ μιᾶς καὶ τῆς αὐτῆς οὐσίας τῆς λογικῆς.

§. 9. *Ψυχὴ μετὰ τοῦ σώματος κοινωνία.*

Περὶ μὲν οὖν τῆς οὐσίας τῆς ψυχῆς καὶ τῶν ταύτης δυνάμεων ἱκανῶς ἤδη ἐν τοῖς ἡγουμένοις ἐρέθη· ἄπορον δ' ἔτι, ὅπως ἡ ψυχὴ μετὰ τοῦ σώματος κοινωνεῖ. Ὅτι μὲν γὰρ ἐν σώματι αὕτη λέγεται εἶναι καὶ ἓν τὸ συναμφότερον, φανερὸν πᾶσιν· οἵα δ' ἡ ἕνωσις τῆς ψυχῆς μετὰ τοῦ σώματος, οὐ πάνυ τι δῆλον· οὐδὲ γὰρ κατὰ κρᾶσιν ἑνοῦσθαι τὴν ψυχὴν τῷ σώματι ὀρθῶς ἂν ἔχοι νοεῖν· τῶν γοῦν λοιπῶν σωμάτων «πάντα τὰ συνιόντα εἰς μιᾶς οὐσίας ὑπόστασιν πάντως ἑνοῦται· πάντα δὲ τὰ ἑνούμενα ἀλλοιοῦται καὶ οὐ μένει, ἃ πρότερον ἦν· εἰ τοίνυν ἡ ψυχὴ ἑνοῦται τῷ σώματι, ὥσπερ τὰ λοιπὰ στοιχεῖα, ἀνάγκη μηδέτερον τὴν ἰδίαν οὐσίαν ἀσύγχυτον καὶ ἀδιάφθορον σώζειν, μηδὲ συμπαθεῖν. Ἀλλὰ μὴν σώζει τε ἑκάτερον τὴν ἰδίαν οὐσίαν καὶ ἀσύγχυτον καὶ ἀδιάφθορον μένει, καὶ ὅλον συμπαθεῖ τὸ ζῶον ἓν ὄν· ἄτοπον ἄρα τὸ λέγειν τὴν ψυχὴν, ὥσπερ τὰ λοιπὰ στοιχεῖα, τῷ σώματι κράσει ἑνοῦσθαι.» (1) Καί τοι δὲ πρὸς δήλωσιν τοῦ

(1) B. 108—111. A. 64—82 δ B 409. καὶ ἡ κρᾶσις δὲ τοῦ οἴνου καὶ τοῦ ὕδατος ἀμφότερα συνδιαφθείρει· οὔτε γὰρ ὕδωρ ἐστὶ τὸ πρᾶγμα καθαρόν, οὔτε οἶνος...» = Πλωτ. ἐνν. δ'. 7, 8. «εἰ δὲ τῶν σωμάτων ἡ κρᾶσις οὐδὲν ἐνεργείᾳ ἐξ τῶν κραθέντων, οὐδ' ἂν ἡ ψυχὴ ἔτι ἐνείη τοῖς σώμασιν, ἀλλὰ δυνάμει μόνον ἀπολέσασα τὸ εἶναι ψυχή· ὥσπερ εἰ γλυκὺ καὶ πικρὸν κραθείη, τὸ γλυκὺ οὐκ ἔστιν· οὐκ ἄρα ἔχομεν ψυχήν·» ἐνν. δ'. 8, 1—10. 7, 2. 3, 20.

συναμφοτέρου αἱ λέξεις κρᾶσις, ἀνάκρασις καὶ σύγκριμα παρὰ Γρηγορίῳ, ὡς καὶ παρὰ τοῖς στωϊκοῖς, ἁπαντῶσιν, οὐδὲν ἧττον οὐδὲ σανῳδὰ τούτοις κατὰ τὴν διόλου κρᾶσιν ἑνοῦσθαι τὴν ψυχὴν ὁ Γρηγ. νοεῖν βούλεται· ἡ γὰρ φαινομένη τῶν στοιχείων κρᾶσις κυρίως οὐκ ἔστι κρᾶσις διόλου, ἀλλά τις παράθεσις λανθάνουσα τὴν αἴσθησιν ἡμῶν διὰ τὸ λεπτομερές. (1) Ἐξετάσωμεν δ' εἰ κατὰ παράθεσιν ἡ ψυχὴ ἑνοῦται τῷ σώματι.

Ὅλον σῶμά, φησιν ὁ Γρ., ὅλῳ σώματι παρακεῖσθαι φύσιν οὐκ ἔχει· εἰ δ' ἑνοῦται τῷ σώματι κατὰ παράθεσιν ἡ ψυχή, δῆλον ὅτι οὐ παντὶ τῷ σώματι παράκειται· εἰ δὲ μὴ παράκειται παντί, οὐδ' ἔμψυχον ὅλον τὸ σῶμα, ἀλλὰ τούτου μέρος, ᾧ παράκειται· ἀλλὰ μὴν ὅλον τὸ σῶμα ἔμψυχον· οὐκ οὖν ἡ ψυχὴ κατὰ παράθεσιν τῷ σώματι ἑνοῦται· (2) ἄτοπον δὲ καὶ τὸ λέγειν, ὡς Πλάτων, τὴν ψυχὴν κεκραμένην σώματι, «ὥσπερ ἐνδεδυμένην τὸ σῶμα·» οὕτω γὰρ οὐκ ἂν εἴη ἑνότης· ἕτερον γὰρ ὁ χιτὼν καὶ οὐχ ἓν μετὰ τοῦ ἐνδυομένου. (3)

Τινὲς δὲ τὴν ψυχὴν ἐν τῷ ἐγκεφάλῳ καὶ ἄλλοι ἐν τῇ καρδίᾳ εἶναι ὡς ἐν τόπῳ ἐφαντάσθησαν· οἱ μὲν γὰρ τὴν καρδίαν ἕδραν τῆς ψυχῆς τιθέμενοί φασι ταύτην τὴν μέσην τοῦ παντὸς σώματος ἔχειν χώραν, ἐξ ἧς ἡ προαιρετικὴ δύναμις πρὸς ἅπαν τὸ σῶμα μερίζεται· ὁ γὰρ θυμὸς καὶ ἡ λύπη καὶ τἆλλα πάθη τοῦτο μάλιστα τὸ μέρος πρὸς συμπάθειαν συγκινεῖν δοκεῖ· συγγενῶς δ' ἔχει ἡ

(1) Αὐτ. Α. 117 δ.

(2) Β. 94. 109. = Πλωτ. ἐνν. δ'. 7, 8. 3, 20· 2. 2.

(3) Β. 109—110.

ψυχὴ πρὸς τὸ πυρῶδες καὶ ἀεικίνητον. Ἐπειδὴ τοίνυν ἐν τῇ καρδίᾳ ἡ θερμότης πηγάζει καὶ ἀεὶ κινουμένη οὐ παύεται, διὰ τοῦτο δοχεῖον τῆς νοερᾶς φύσεως τὴν καρδίαν ἐποιήσαντο. (1) «Οἱ δὲ τὸν ἐγκέφαλον ἀφιεροῦντες τῷ λογικῷ ὥσπερ ἀκρόπολίν τινα τοῦ παντὸς σώματος τὴν κεφαλὴν δεδομῆσθαι παρὰ τῆς φύσεως λέγουσιν, ἐνοικεῖν δὲ ταύτῃ καθάπερ τινὰ βασιλέα τὸν νοῦν, οἷόν τισιν ἀγγελιοφόροις ἢ ὑπασπισταῖς τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δορυφορούμενον. Σημεῖον δὲ καὶ οὗτοι ποιοῦνται τὸ παράγεσθαι τοῦ καθεστῶτος τὸν λογισμὸν τῶν κεκακωμένων τὰς μήνιγγας καὶ τὸ ἐν ἀγνοίᾳ τοῦ πρέποντος γίνεσθαι τοὺς ἐν μέθῃ καρηβαρήσαντας». Ἔτι δὲ πᾶσι τοῖς αἰσθητηρίοις οἷον ὑποβάθραν τινὰ καὶ ῥίζαν εἶναι λέγουσι τὴν μήνιγγα· ἐντεῦθεν γὰρ τῶν πέντε αἰσθήσεων αἱ ἀρχαί. (2)

Τὸ μὲν οὖν τὴν καρδίαν μεγάλως συντελεῖν πρὸς τὴν ζωὴν ὅ τε Γρ. ὁμολογεῖ καὶ ἡ πεῖρα ἐπιβεβαιοῖ· ἄνευ γὰρ τῆς καρδίας οὐχ οἷόν τε ζῆν· ταύτης δὲ τὸ πάθημα ὅλον τοῦ σώματος τὸν ὀργανισμὸν ταράττει καὶ τὸν θάνατον ἐπιφέρει· ἀλλὰ δεῖ κατὰ Γρ. τοὺς λόγους τῆς ἐπιθυμίας, τοῦ θυμοῦ κ.τ.τ. εἰς τὰς ποιὰς τοῦ σώματος κατασκευὰς ἀνάγειν καὶ φυσικῶς ἐξηγεῖσθαι, οὐ μὴν καὶ ἀπόδειξιν

---

(1) Α. 67—72. 73—80. α=Πλωτ. ἐνν. δ'. 3, 20—23.

(2) Α. 130. 132. 68 γ. «τούτῳ πιστοῦνται τὸν — λόγον, ὡς οὐχ ἑτέρωθι τῆς νοητικῆς ἐνεργείας καθιδρυμένης, εἰ μὴ κατ' ἐκεῖνο τὸ μέρος, ᾧ καὶ τὸ οὗς ἐφηρμοσμένον τὰς ἐμπιπτούσας αὐτῷ φωνὰς προσαράσσει, καὶ ἡ ὄψις κατὰ τὸν πυθμένα τῆς τῶν ὀφθαλμῶν ἕδρας συμπεφυκυῖα...» πρβλ. Πλωτ ἐνν. δ'. 3, 21.

ποιεῖσθαι τοῦ τοπικαῖς περιγραφαῖς περιειλῆφθαι τὴν ἀσώματον φύσιν· (1) τὸ δ' αὐτὸ ἰσχύει καὶ περὶ τοῦ ἐγκεφάλου λεγόμενον· συντελεῖ γὰρ πρὸς τὸ ζῆν ὁ τὸν ἐγκέφαλον ἐμπεριέχων νευρώδης ὑμήν· ἐπειδὴ τρῶσις καὶ ῥῆξίς τις ἐπὶ τοῦτον γενομένη εὐθὺς τὸν θάνατον συνεπάγεται· τὸ δ' ἀποσπασθὲν τῆς κοινωνίας τούτου μέρος τοῦ σώματος ἀκίνητον καὶ ἀναίσθητον μένει. Πλὴν ὁ Γρ. οἶδε τὰς παραφορὰς καὶ ἐξ ἄλλων αἰτίων γινομένας· «ὁμοίως γὰρ ἀρρωστεῖ τὸ διανοητικόν, τῶν τὰς πλευρὰς ὑπεζωκότων ὑμένων ἐμπαθῶς διατιθέντων.» «Ἀμβλύνεσθαι δὲ τὰς νοητικὰς ἐνεργείας ἢ καὶ παντάπασιν ἀπραχτεῖν ἐν τῇ ποιᾷ τοῦ σώματος διαθέσει διδαχθεὶς οὐχ ἱκανὸν ποιοῦμαι τοῦτο τεκμήριον, τοῦ τόπῳ τινὶ τὴν δύναμιν τοῦ νοῦ περιείργεσθαι, ὡς ταῖς ἐπιγινομέναις τοῖς μέρεσι φλεγμοναῖς τῆς οἰκείας εὐρυχωρίας ἐξειργομένης· σωματικὴ γὰρ ἡ τοιαύτη δόξα, τὸ μὴ δύνασθαι τοῦ προκατειλημμένου ἀγγείου διά τινος τῶν ἐμβεβλημένων ἕτερόν τι ἐν αὐτῷ χώραν εὑρεῖν· ἡ γὰρ νοητικὴ φύσις οὔτε ταῖς κενώσεσιν ἐμφιλοχωρεῖ τῶν σωμάτων, οὔτε τῷ πλεονάζοντι τῆς σαρκὸς ἐξωθεῖται.» (2) Καθόλου δὲ ὁ Γρηγόριος εἰκάζει μὴ οἷόν τε εἶναι τὴν ψυχὴν ἐντὸς τοῦ σώματος, ὡς ἐν τόπῳ, ἢ ἐκτὸς αὐτοῦ ἑδράζειν· «τόπος γάρ ἐστι πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχεται τὸ περιεχόμενον·» τὸ δ' ἔξωθεν περιλαμβάνειν καὶ ἔνδοθεν κρατεῖσθαι ἐπὶ τῶν σωμάτων ὀρθῶς ἂν λέγοιτο· ἐπὶ νοερῶν δὲ καὶ ἀσωμάτων, ἃ δὴ φύ-

(1) Αὐτ. 129 130.

(2) A 82 δ., 71 α. B 111, α. πρβλ. Πλωτ. ἐνν. δ'. 3, 20.

σει οὔτε σώματι ἐγκρατεῖται, οὔτε τι περιλαμβάνει, οὔ. Λέγεται δ' ἡ ψυχὴ ἐν σώματι ἢ ἐν μέρει τοῦ σώματος εἶναι οὐ κυρίως, ἀλλ' ἐκ καταχρήσεως· διὸ οὐδ' ὡς ἐν τόπῳ χρὴ τὴν ψυχὴν ἐν τῷ σώματι νοεῖν, ἀλλ' ὡς ἐν σχέσει· ἐνεργεῖ γὰρ ἐν τῷ σώματι ἤ τινι τούτου μέρει ἢ ἐκτὸς τοῦ σώματος, ἀλλ' οὐκ ἔστιν ἐκεῖ ὡς ἐν τόπῳ· (1) Πῶς οὖν ἑνοῦται ἡ ψυχὴ τῷ σώματι;

Ὁ Γρ. λύσιν τοῦ ζητήματος ἐπάγεσθαι βουλόμενος ἐπαναλαμβάνει τὴν θεωρίαν περὶ τῆς δι' ὅλου χράσεως τῶν Στωϊκῶν, ἣν Πλωτῖνος βραδύτερον ἐπεξειργάσατο καὶ ἐπὶ τῆς ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ σώματος ἐφήρμοσεν· ὅλη γὰρ ἡ ψυχή, φησι, πανταχοῦ τοῦ σώματος πάρεστι, καὶ ὅλη δι' ὅλου τοῦ σώματος χωρεῖ, καὶ παντὸς τοῦ σώματος ὁμοτίμως ἐφάπτεται, ἐν τῷ σώματι καὶ περὶ τὸ σῶμα θεωρουμένη. (2) Ἀποκαλεῖ δὲ τοῦτον τῆς ἑνώσεως τὸν τρόπον ἀνάκρασιν καὶ προσγράφει τοῖς νοητοῖς τὴν δύναμιν τοῦ ἑνοῦσθαι τοῖς σώμασι καὶ τοῦ μένειν ἀδιάφθορα καὶ ἀσύγχυτα καὶ ἀναλλοίωτα· ὃ δὴ πρὸ τοῦ Γρ. ὁ Πλωτ. ἐποίησε. (3) Παραβάλλει δὲ διὰ

---

(1) A 82. B 111 a. «—οὐχ ὡς ἐν τόπῳ τῷ σώματι λέγεται εἶναι, ἀλλ' ὡς ἐν σχέσει καὶ τῇ πρός τι ῥοπῇ καὶ διαθέσει δεδέσθαι φαμὲν ὑπὸ τοῦ σώματος τὴν ψυχήν, ὡς λέγομεν ὑπὸ τῆς ἐρωμένης δεδέσθαι τὸν ἐραστὴν — κατὰ σχέσιν — δέον λέγειν ἐκεῖ ἐνεργεῖ, λέγομεν ἐκεῖ ἐστιν.» Πλωτ. δ'. 3, 20. 4, 60.

(2) B. 110. A. 70. 72. 73, 80. περὶ ψυχ. καὶ ἀν. 211. λόγ. κατ. 65. γ. πρβλ. Πλωτ. ἐνν. δ'. 3, 19. 9, 1. στ'. 4, 1. 5, 22. 4, 4. 7. 12.

(3) A. 66. δ. λόγ. κατ. 65. 66. B. 108. 109. πρβλ. ἐνν. δ'. 1, 1. 4, 3. 4. έ. 1, 2 στ'. 4, 7. 8. = Εὐν. 495γ. 509α.

τὸ εὔληπτον τὸν τοιοῦτον τῆς ἑνώσεως τρόπον πρὸς τὸν τοῦ φωτὸς μετὰ τοῦ ἀέρος· «ὡς ὁ ἥλιός, φησι, τῇ ἰδίᾳ παρουσίᾳ αὐτοῦ τὸν ἀέρα εἰς φῶς μεταβάλλει ποιῶν αὐτὸν φωτοειδῆ καὶ ἑνοῦται τῷ ἀέρι τὸ φῶς ἀσυγχύτως αὐτῷ συγκεχυμένος, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἑνουμένη τῷ σώματι μένει ἀσύγχυτος, κατὰ τοῦτο μόνον διαλλάττουσα, ὅτι ὁ μὲν ἥλιος σῶμα ὢν καὶ τόπῳ περιγραφόμενος οὐκ ἔστι πανταχοῦ, ἔνθα καὶ τὸ φῶς αὐτοῦ, ὡς οὐδὲ τὸ πῦρ· μένει γὰρ καὶ αὐτὸ ἐν τοῖς ξύλοις ἢ ἐν θρυαλλίδι δεδεμένον ὡς ἐν τόπῳ· ἡ δὲ ψυχὴ ἀσώματος οὖσα καὶ μὴ περιγραφομένη τόπῳ ὅλη δι' ὅλου χωρεῖ καὶ τοῦ φωτὸς αὐτῆς καὶ τοῦ σώματος καὶ οὐκ ἔστι μέρος χωριζόμενον ὑπ' αὐτῆς, ἐν ᾧ μὴ ὅλη πάρεστιν· οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος, ἀλλ' αὐτὴ κρατεῖ τὸ σῶμα· οὐδὲ ἐν τῷ σώματί ἐστιν ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ, ἀλλὰ μᾶλλον τὸ σῶμα ἐν ταύτῃ·» (1) Παραπλησίως δ' ἀποφαίνεται καὶ ὁ Πλωτῖνος, ὃς ἐν ἐνν. δ'. 3, 22. φησὶν «ἆρ' οὖν οὕτω φατέον, ὅταν ψυχὴ σώματι παρῇ, παρεῖναι αὐτὴν ὡς τὸ πῦρ πάρεστι τῷ ἀέρι; καὶ γὰρ αὖ καὶ τοῦτο παρὸν οὐ πάρεστι καὶ δι' ὅλου παρὸν οὐδενὶ μίγνυται, καὶ ἔσχηκε μὲν αὐτὸ τὸ δὲ παρέρρει· καὶ ὅταν ἔξω γένηται τοῦ ἐν ᾧ τὸ φῶς, ἀπῆλθεν οὐδὲν ἔχον· ἕως δέ ἐστιν ὑπὸ τὸ φῶς πεφώτισται· ὥστε ὀρθῶς ἔχειν καὶ ἐνταῦθα λέγειν ὡς ὁ ἀὴρ ἐν τῷ φωτί, ἥ περ τὸ φῶς ἐν τῷ ἀέρι.» πρβλ. γ'. 6, 14. 15. δ'. 3, 9. 10. 22. 4, 1—20. 61. 2, 1. στ'. 4, 7. 8.

---

(1) B. 110γ. λόγ. κατ. 65. 66.

ΣΗΜ. Οἱ Στωϊκοὶ μηδὲν ἀσώματον θεωροῦντες καὶ τὴν ψυχὴν σῶμα ἔλεγον λεπτότατον διὰ παντὸς τοῦ σώματος κατὰ κρᾶσιν διῆκον· τοῦτο δὲ τὸ εἶδος τῆς κράσεως κρᾶσιν δι' ὅλου προσωνόμαζον. Ἔστι δὲ κρᾶσις κατὰ Χρύσιππον «δύο ἢ πλειόνων σωμάτων ὅλων δι' ὅλων ἀντιπαρέκτασις ἀλλήλοις οὕτως, ὥστε σώζειν ἕκαστον αὐτῶν ἐν τῇ μίξει τῇ τοιαύτῃ τήν τε οἰκείαν οὐσίαν καὶ τὰς ἐν αὐτῇ ποιότητας·» γίνονται δ' αἱ κράσεις «διόλου» καὶ οὐ κατὰ περιγραφὴν καὶ παράθεσιν· «ὁμοίως δὲ καὶπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχει· δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν· ἀρέσκει γὰρ αὐτοῖς (τοῖς Στωϊκοῖς) σῶμα διὰ σώματος ἀντιπαρήκειν·» παράδειγμα δ' ἐλάμβανον οἱ Στωϊκοὶ τὸν πεπυρωμένον σίδηρον ἴδ. Zeller die nacharist. Philos. III. Th. I. Abth. erste Hälfte p. 107. 115. 184. Ἐπὶ σωμάτων δὲ τὸ τοιοῦτον εἶδος τῆς κράσεως ὡς ἀδύνατον ἐλέγξας ὁ Πλωτῖνος, ἐπὶ τῆς νοερᾶς ψυχῆς ἐφαρμόζει, ὡς καὶ ὁ Γρηγόριος τούτῳ ἀναντιρρήτως ἑπόμενος. (1) Ὅτι δ' ἡ ψυχὴ πανταχοῦ τοῦ σώματος ὅλη πάρεστι, δῆλον κατὰ Γρηγ. καὶ ἐκ τῶν ἑξῆς. Κατ' Ἐπίχαρμον γὰρ «νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει τἄλλα κωφὰ καὶ τυφλά·» αἱ οὖν αἰσθήσεις οὐκ εἰσι νοῦς· ἀλλ' ἡμεῖς διὰ τῶν αἰσθητηρίων ὀργάνων τὴν ἀντίληψιν ἔχομεν· ἔτι δὲ διὰ διαφόρων αἰσθήσεων μία ἡμῖν «συναγείρεται» γνῶσις· ὅπερ οὐκ ἂν ἐγίνετο, εἰ μὴ πανταχοῦ ὁ αὐτὸς ἦν νοῦς· ἀνάγκη τοίνυν τὸν νοῦν ἐν τοῖς αἰσθητηρίοις παρεῖναι ὀργάνοις· ἐπειδὴ ἄρα παν-

---

(1) Ἐν γὰρ Β. 109γ. ὁ Γρηγόριος ῥητῶς μνείαν ποιεῖται τούτου λέγων· «Ἀμμώνιος δὲ ὁ διδάσκαλος τοῦ Πλωτίνου τὸ ζητούμενον τοῦτον τὸν τρόπον ἀπελύετο· ἔλεγε γὰρ τὰ νοητὰ τοιαύτην ἔχειν φύσιν, ὡς καὶ ἑνοῦσθαι τοῖς δυναμένοις αὐτὰ δέξασθαι, καθάπερ τὰ συνεφθαρμένα καὶ ἡνωμένα, καὶ μένειν ἀσύγχυτα καὶ ἀδιάφθορα ὡς τὰ παρακείμενα.»

ταχοῦ ὁ αὐτὸς νοῦς ἀμερίστως πάρεστιν, αἵ τε ἐκ διαφόρων ὀργάνων αἰσθητηρίων γινόμεναι ἀντιλήψεις οὐκ ἐπιμίγνυνται ἀλλήλαις καὶ μία ἐκ πολλῶν ἀντιλήψεων συναποτελεῖται γνῶσις. (1)

Τὰ δὲ φαινόμενα, καθ' ἃ ἡ ψυχὴ ἔν τινι τοῦ σώματος μέρει ἔζιν ὅτε ἐνεργεῖν δοκεῖ, ἐξηγούμενος ὁ Γρ. φησί· «πέφυκε γάρ πως ὁ νοῦς πρὸς μὲν τὸ κατὰ φύσιν διακείμενον οἰκείως ἔχειν, πρὸς δὲ τὸ παρενεχθὲν ἀπὸ ταύτης ἀλλοτριοῦσθαι·» καὶ «ὁ νοῦς δι' ὅλου τοῦ ὀργάνου διήκων καὶ καταλλήλως — ἑκάστῳ τῶν μερῶν προσαπτόμενος ἐπὶ μὲν τῶν κατὰ φύσιν διακειμένων τὸ οἰκεῖον ἐνήργησεν· ἐπὶ δὲ τῶν ἀσθενούντων δέξασθαι τὴν τεχνικὴν

---

(1) Περὶ ψυχ. καὶ ἀν. 190. Εἰ μή τις δύναμις ἦν νοητὴ ἡ ἑκάστῳ τῶν αἰσθητηρίων παροῦσα, τί ἂν ἡμᾶς ἡ χεὶρ ἀφ' ἑαυτῆς ἐδιδάξατο, μὴ τῆς ἐννοίας πρὸς τὴν τοῦ ὑποκειμένου γνῶσιν τὴν ἀφὴν ὁδηγούσης; τί δ' ἂν ἡ ἀκοὴ διανοίας διεζευγμένη ἢ ὀφθαλμὸς ἢ μηκτήρ, ἢ ἄλλο τι αἰσθητήριον πρὸς τὴν ἐπίγνωσιν τοῦ ζητουμένου συνήργησεν, εἰ ἐφ' ἑαυτοῦ μόνου τούτων ἕκαστον ἦν; —» Α. 66. 6, 65. 70 (πρβλ. Πλωτ. ἐνν. δ'. 2, 1. στ'. 4, 11. δ'. 2, 2. 4, 51.) 64 γ «διπλῆ — περὶ τὸ ὄργανον (τῆς ἀκοῆς) ἡ ἐνέργεια· ἡ μὲν πρὸς ἐργασίαν ἠχῆς, ἡ δὲ πρὸς ὑποδοχὴν ἔξωθεν νοημάτων· καὶ οὐκ ἐπιμίγνυται πρὸς τὴν ἑτέραν ἡ ἄλλη, ἀλλὰ παραμένει τῇ ἐνεργείᾳ, ἐφ' ᾗ ἐτάχθη παρὰ τῆς φύσεως, οὐκ ἐνοχλοῦσα τῇ γείτονι, οὔτε τῆς ἀκουῆς λεγούσης, οὔτε τῆς φωνῆς ἀκουούσης — ὥσπερ εἴ τις πολύχωρος εἴη πόλις ἐκ διαφόρων εἰσόδων τοὺς πρὸς αὐτὴν συμφοιτῶντας εἰσδεχομένη οὐκ ἐπὶ τὸ αὐτὸ κατά τι τῶν ἐν τῇ πόλει συνδραμόντες οἱ πάντες, ἀλλ' οἱ μὲν κατὰ τὴν ἀγοράν, οἱ δὲ — κατὰ τὴν ἰδίαν ἕκαστος γνώμην μεταχωροῦσι· τοιαύτην τινὰ βλέπω καὶ τὴν τοῦ

αὐτοῦ κίνησιν ἄπρακτός τε καὶ ἀνενέργητος ἔμεινε·» (1) δῆλον δὲ καὶ τοῦτο ποιεῖται ἐκ τῆς εἰκόνος τὸ θεῖον γάρ, φησι, πρὸς ὃ πάντα νένευκεν, ὅσα τοῦ καλοῦ τὴν ἔφεσιν ἔχει, πανταχοῦ τε πάρεστι καὶ διακρατεῖ καὶ συνέχει τὸ πᾶν· τούτου δ' εἰκών ἐστιν ὁ νοῦς, ὃς πανταχοῦ τοῦ σώματος πάρεστι καὶ συνέχει καὶ διακρατεῖ τὸ σῶμα· τούτου πάλιν ἡ φύσις ἄλλη τίς ἐστιν εἰκόνος εἰκών, ἤτοι τῆς ψυχῆς. Ὥσπερ οὖν ἡ ψυχὴ ἕως ἂν βλέπῃ πρὸς τὸ θεῖον ζῇ τε καὶ τούτου μέτοχος γίνεται, οὕτω καὶ ἡ τοῦ σώματος φύσις, εἰ μὲν συμφυῶς ἔχοι πρὸς τὴν ψυχήν, κρατεῖταί τε καὶ συνέχεται καὶ καλλωπίζεται ὑπὸ ταύτης· εἰ δ' ἐκπέσοι τοῦ κατὰ φύσιν πρὸς τὸν νοῦν ἔχειν, ἄμοιρός τε ψυχῆς γίνεται καὶ εἰς φθορὰν μεταπίπτει· (2) συμβαίνει

νοῦ πόλιν τὴν ἔνδοθεν ἐν ἡμῖν συνῳκισμένην, ἣν διάφοροι μὲν αἱ διὰ τῶν αἰσθήσεων εἴσοδοι καταπληροῦσιν, ἕκαστον δὲ τῶν εἰσιόντων φιλοκρινῶν τε καὶ ἐξετάζων ὁ νοῦς τοῖς καταλλήλοις τῆς γνώσεως τόποις ἐναποτίθεται....»

(1) A. 82γ.δ. 70α. 71αγ. 776. 72α.6. 75α.—

(2) A. 71γ. «φαμὲν καὶ τὸν νοῦν, ἅτε κατ' εἰκόνα τοῦ καλλίστου γενόμενον, ἕως ἂν μετέχῃ τῆς πρὸς τὸ ἀρχέτυπον ὁμοιότητος — ἐν τῷ καλῷ διαμένειν· εἰ δέ πως ἔξω γένοιτο τούτου, γυμνοῦσθαι τοῦ κάλλους, ἐν ᾧ ἦν — κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ τὴν οἰκονομουμένην ὑπ' αὐτοῦ φύσιν ἔχεσθαι τοῦ νοῦ λογιζόμεθα καὶ τῷ παρακειμένῳ κάλλει καὶ αὐτὴν κοσμεῖσθαι, οἷόν τι κατόπτρου κάτοπτρον γινομένην· κρατεῖσθαι δὲ ὑπὸ ταύτης καὶ συνέχεσθαι τὸ ὑλικὸν τῆς ὑποστάσεως, περὶ ἣν θεωρεῖται ἡ φύσις — ἓν — τὸ ὄντως ἀγαθόν, ὁ δὲ νοῦς τῷ κατ' εἰκόνα τοῦ καλοῦ γεγενῆσθαι καὶ αὐτὸς ἔχει τὸ καλὸς εἶναι· ἡ δὲ φύσις ὑπὸ τοῦ νοῦ συνεχομένη, καθάπερ τις εἰκόνος εἰκών ἐστι...»

γὰρ τῇ ψυχῇ ὅ,τί περ καὶ τῷ μελῳδεῖν ἐπισταμένῳ· ὥσπερ γὰρ οὗτος τοῦ ὀργάνου χαλασθέντος οὐ δύνατοι τὴν τέχνην ἐπιδείξασθαι, οὕτω καὶ ἡ ψυχή, τοῦ σώματος μὴ οἷου τε ὄντος τὴν ταύτης ἐνέργειαν δέξασθαι. (1)

§. 10. *Ψυχῆς γέννησις.*

Ἐν § 6 ἐρρέθη ἤδη ὅτι ἡ μία τῆς ψυχῆς οὐσία δυνάμει πολλὰς ὑπὸ τοῦ Θεοῦ ὡρισμένας ὑποστάσεις ἐν ἑαυτῇ περικλείει· ἄδηλον δὲ πῶς ἑκάστη ψυχὴ καὶ ἐνεργείᾳ εἰς γένεσιν ἔρχεται· τῶν γὰρ πρὸ τοῦ Γρηγορίου ἄλλοι ἄλλως περὶ τούτου ἐφρόνουν. Τοῖς γὰρ τὴν Πλάτωνος διδασκαλίαν ἀποδεχομένοις ἅπαξ ἐδόκει τὰς ψυχὰς ὑπὸ τοῦ Θεοῦ ὑφεστάναι ἐν ὡρισμένῳ ἀριθμῷ τοῖς ἄστροις ἰσαρίθμῳ, πρὸ δὲ τῆς γεννήσεως ἐν οὐρανῷ ὑπάρχειν (προύπαρξις, praeexistentia, praeexistentianismus)· τινὲς δὲ ἀμέσως ὑπὸ τοῦ Θεοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγομένην τὴν ἑκάστου ψυχὴν (creatio, creatianismus) καὶ τέλος ἄλλοι γεννᾶσθαι κατὰ πάροδον (tradux animae, traducianismus) ἐδίδασκον· (2) Ἐνορῶν δ' ὁ Γρ. ἐν ταῖς τρισὶ ταύταις θεωρίαις πολλὰ τὰ ἄτοπα οὐ μόνον οὐκ ἀποδέχεται, ἀλλὰ καὶ ἐλέγχει· καὶ δὴ

Α'. Ὅλως ἀπόβλητον θεωρεῖ τὴν Πλάτ. καὶ Ὠριγ. περὶ τῆς προϋπάρξεως τῶν ψυχῶν δόξαν· ἁ. μὲν γὰρ αἰτία ἐγένετο αὕτη τοῦ δόγματος τῆς μετενσωματώσεως, καθ' ὃ «ἀνὴρ γέγονεν ὁ αὐτὸς καὶ γυναικὸς σῶμα μετημφιάσατο,

---

(1) Α. 62ε. 71α. 73α.

(2) Α. 119—122γ. Περὶ ψυχ. καὶ ἀν. 232—238. 240.

καὶ μετ'ὀρνέων ἀνέπτη, καὶ θάμνος ἔφυ καὶ ἔνυδρον ἔλαχε βίον·» (1) εἰ γὰρ αἱ ἀσώματοι ψυχαὶ ἐν οὐρανῷ, ὥσπερ ἔν τινι δήμῳ, πολιτευόμεναι διατελοῦσι καὶ ἐν τῷ ἀγαθῷ μένειν μὴ δύνανται, ἀλλὰ τῷ ἑτέρῳ τῶν ἵππων ἀκολουθοῦσαι καὶ πτερορρυείσασαι εἰς σῶμα οἰκίζονται, ἀνάγκη ἐν σώματι γενομένας ἐν πλείονι κακίᾳ γενέσθαι ταύτας καὶ ἐμπαθέστερον διατεθῆναι· πλείους γὰρ ἐν τῷ σώματι αἱ πρὸς τὴν ἁμαρτίαν ἀφορμαί. Ἐπειδὴ δὲ ψυχῆς πάθος ἐστὶν ἡ πρὸς τὸ ἄλογον ἐξομοίωσις, δέον ταύτην τῷ ἀλόγῳ προσοικειωθεῖσαν εἰς τὸν κτηνώδη καὶ ἄλογον μεταρρυεῖναι βίον, καὶ ἐνταῦθα γενομένην μηδέποτε

(1) Αὐτ. ὁ Γρηγ. ῥητῶς οὐ ποιεῖται μνείαν Ὠριγένους, ἐκ δὲ τοῦ ἀναφερουμένου «περὶ ἀρχῶν» συγγράμματος ῥᾳδίως ἄν τις τοῦτον νοήσοι· φησὶ γὰρ Α. 119γ. «τοῖς μὲν — πρὸ ἡμῶν δοκεῖ, οἷς *ὁ περὶ ἀρχῶν* ἐπραγματεύθη λόγος·» εὐλόγως δ' ὁ Γρ. συνδεῖ τὴν προὔπαρξιν μετὰ τῆς μετεμψυχώσεως· ὁ γοῦν Ὠριγένης ἔλεγε τὴν ὕλην πάλιν συστῆναι, ἵνα ψυχὰς ἐκ νέου πεσοῦσας δέξηται· «Wenn Alles, was Christo, unterworfen ist, Gott am Ende unterworfen wird, so werden Alle die Leiber ablegen und ich meine, dass dann in Nichts aufgelöst werden wird die Natur der Leiber, um von Neuem zu entstehen, wenn wiederum vernünftige Geister sinken.» Möller Kosmologie p. 537.—553. πρβλ. Πλάτ. Τιμ. 39 — Πολιτ. έ. 611. δ'. 436 — 441. Φαίδρ. 72 γ Ἔπιθι καὶ «Ναθαναὴλ τοῦ μοναχοῦ ἀντιθετικὸς πρὸς Πλωτῖνον περὶ ψυχῆς» παρὰ F. Creuzer «de pulchritudine» p. 407.— ἔνθα κατὰ τῆς προϋπάρξεως ὁ λόγος. Ἐμπεδ. παρὰ Διογ. Λαερτ. ἡ. 77. «ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε θάμνος τ' οἰωνός τε καὶ εἰν ἁλὶ ἔλλοπος ἰχθύς.»

παύεσθαι τοῦ κακοῦ, οὗ ἡ στάσις ἀρχή ἐστιν ἀρετῆς· ἐν δὲ τοῖς ἀλόγοις μὴ οὔσης ἀρετῆς, δῆλον ὅτι μηδὲ τῇ ψυχῇ ἐνέσται· προϊοῦσα δ' οὕτως ἡ ψυχὴ πρὸς τὰ χείρω κατὰ μικρὸν εἰς τὸ ἄψυχον καὶ ἀναίσθητον καὶ ἀνύπαρκτον μεταχωρήσει, ὁπόθεν ἡ πρὸς τὰ κρείττω ἐπάνοδος ἀμήχανος· εἰ δ' ἐκ θάμνου ἡ τῆς ψυχῆς τελείωσις ἄρχεται, προτιμοτέρα τῆς ἀσωμάτου ἡ ζωὴ αὕτη· ἐκεῖθεν μὲν γὰρ ἡ τῆς κακίας ἀρχή· ἐκ δὲ θάμνου ἡ πρὸς τὴν ἀρετὴν ἐπάνοδος ἂν ἐγίνετο, ὅπερ ἄτοπον. (1) β'. δὲ εἰ ἡ ψυχὴ ἐκ κακίας εἰς σῶμα εἰσκρίνεται, ἀρχὴ τοῦ βίου ἡ κακία ἂν εἴη· εἰ δ' ἡ ἀρχὴ τοιαύτη, δῆλον ὅτι καὶ τὰ ἐφεξῆς· οὔτε γὰρ ἐξ ἀγαθοῦ κακὸν φύεται, οὔτε ἐκ κακοῦ ἀγαθόν· τοὺς γοῦν καρποὺς κατὰ τὸ σπέρμα ἀναμένομεν·(2) γ'. οἱ προϋπάρχειν τὰς ψυχὰς τιθέμενοι ἀντιφάσκουσι πρὸς ἑαυτοὺς ἀτρέπτως καὶ ἀπαθῶς ταύτας λέγοντες πολιτεύεσθαι, καὶ πάλιν τρεπτὰς καὶ ἐν κακίᾳ γινομένας ποιούμενοι· τοῦ δὲ πάθους τὸ δυνατὸν ἐν τῇ ἀτρέπτῳ φύσει νοοῦντες, ὅπως ἐν τῷ τρεπτῷ κατορθοῦται ἡ ἀπάθεια εἰπεῖν οὐκ ἔχουσιν. Περιπλανωμένας δὲ τὰς ψυχὰς πρὸς καθαρισμὸν ὡρισμένας τινὰς περιόδους πλάττοντες, ἐκεῖσε πάλιν ταύτας κυκλικῶς ἐπανάγειν βούλονται, ὁπόθεν ἐκπεπτώκασι, ἵν' αὖθις οἰκισθῶσι σώματι (3) δ'. εἰ αἱ ψυχαί, φησιν ὁ Γρ., προϋπάρχουσαι ἐνσωματοῦνται, ἀνάγκη ταύτας τότε μάλιστα κακίας πληροῦσθαι συμβαίνειν,

---

(1) Α. 120—122 β. Περὶ ψυχ. καὶ ἀν. 234. β. Πλάτ. Φαίδρ. 246—256. Φαίδ. 81. 82.

(2) Αὐτ. 236. 237.

(3) Περὶ ψυχ. καὶ ἀν. 234β γ 235 β.

ὅταν αἱ τῶν ζώων γαστέρες κυίσκωνται· ὅθεν ἀνάγκη πάσῃ ψυχῇ τοῦ ἀγαθοῦ ἐκπεσούσῃ τὰς συνόδους τῶν ἐν συζυγίᾳ ζώων περιεργάζεσθαι καὶ τὰς λοχείας ἐπιτηρεῖν, ἵνα τοῖς φυομένοις σώμασιν εἰςκριθῇ· γάμου δὲ μὴ ὄντος, δῆλον ὅτι πᾶσα ψυχὴ ἀλῆτις ἂν εἴη· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ ε'. καὶ τοῦ λογικοῦ ἡ προμήθεια ἄχρηστος καὶ ἀκερδὲς τὸ τῆς ἀρετῆς ἐπιμελεῖσθαι ἂν δείκνοιτο· κενὸς δ' ἐξελέγχοιτ' ἂν λῆρος διὰ τοῦ δόγματος τούτου πᾶν ὅ,τι περὶ κρίσεως καὶ ἀνταποδόσεως μετὰ θάνατον λέγεται. Ἐντεῦθεν δῆλοί εἰσιν οἱ τὴν προύπαρξιν τῶν ψυχῶν δογματίζοντες «συγχέειν τε τὰ ἀσύγχυτα καὶ καταμιγνύειν τὰς τῆς φύσεως ἰδιότητας καὶ ἀναφύρειν πρὸς ἄλληλα πάντα, τὸ ἄλογον, τὸ λογικόν, τὸ αἰσθητικόν, τὸ ἀναίσθητον —» (1).

Β'. Οὐδ' ἑκάστοτε δὲ τὸν Θεὸν τὰς ψυχὰς δημιουργεῖν Γρηγορίῳ δοκεῖ. Ἔστι δ' ἡ θεωρία αὕτη διττή· ἢ γὰρ ἡ ψυχὴ δημιουργεῖταί τε καὶ ἐπεισκρίνεται ἅμα τοῦ σπέρματος ἐγκαταβαλλομένου, ἢ πλασθέντος καὶ μορφωθέντος ἤδη τοῦ σώματος. α) Οἱ μὲν οὖν τὴν ψυχὴν μετὰ τὴν τοῦ σώματος διάπλασιν εἰς τὸ εἶναι παράγεσθαι λέγοντες εἰκάζουσι τοῦτο ἐκ τῆς διηγήσεως τοῦ Μωϋσέως, καθ' ἣν ὁ Θεὸς πλάσας πρῶτον τὸ σῶμα, εἶτα τὴν ψυχὴν διὰ τοῦ ἐμφυσήματος ἐποίησε. Ἀλλ' ἡ τοιαύτη δόξα διαμαρτάνει τῆς ἀληθείας, κατὰ Γρηγόριον· «οὔτε γὰρ ὁ Μωϋσῆς, φησί, τότε τὴν ψυχὴν ἐκτίσθαι λέγει, οὔτε κατὰ λόγον οὕτως ἔχει· οἱ γὰρ ταῦτα λέγοντες τῆς ψυχῆς τῆς

(1) Αὐτ. 236—237. 232. 6γδ.

ἐπειςκρινομένης προτιμοτέραν ἀποδεικνύουσι τὴν σάρκα· λέγουσι γὰρ διὰ τὸ σῶμα τὴν ψυχὴν γενέσθαι, ὡς ἂν μὴ ἄπνουν τε καὶ ἀκίνητον εἴη τὸ πλάσμα· πᾶν γὰρ τὸ διά τι γινόμενον ἀτιμότερον τοῦ δι' ὃ γίνεται —(Λευκ. 15, 22.)»· ἡ δὲ τοῦ Θεοῦ δύναμις ἀτελὴς ἐξελεγχθήσεται μὴ παντὶ ἐξαρκοῦσα καὶ κατὰ μέρος ἀσχολουμένη· στασιάζοι δ' ἂν καὶ ὁ ἄνθρωπος καὶ τῇ κατὰ χρόνον διαφορᾷ μερίζοιτο πρεσβύτερος καὶ νεώτερος γενόμενος.(1) β'' Ἀπόβλητος δὲ καὶ ἡ δόξα τῶν τὴν ψυχὴν ἑκάστοτε, ἅμ' ἀφορμῆς δοθείσης πρὸς τὴν τοῦ σώματος διάπλασιν, ὑπολαμβανόντων κτίζεσθαι· «εἰ» γὰρ «αἱ ψυχαὶ νῦν ἐξ οὐκ ὄντων δημιουργοῦνται, οὐκ ἔστιν ἀληθὲς τοῦ Μωϋσέως τὸ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ» (Γεν. 2, 2.)· ἀλλὰ μὴν ἀληθὲς τὸ τοῦ Μωϋσέως· τὸ γὰρ ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται (Ἰωάν. 5, 17) ἐπὶ τοῦ προνοεῖν κατὰ Γρ. εἴρηται.» Εἰ δ' αἱ ψυχαὶ νῦν κτίζονται, δῆλον ὅτι οὐ πλήρης οὐδὲ τέλειος ὁ κόσμος ἐστίν, ἀλλ' ἡμιτελὴς καὶ ἀεὶ προσθήκης δεόμενος· «πεντακισμύριαι γοῦν τὸ ἐλάχιστον καθ' ἑκάστην ἡμέραν οὐσίαι νοηταὶ προσγίνονται αὐτῷ· ἀλλ' οὐ θέμις λέγειν τὸν Θεόν, οὗ ἡ δύναμις ἄπειρος, ἀτελές τι παραγαγεῖν· οὐκ ἄρα αἱ ψυχαὶ νῦν ὑπὸ Θεοῦ κτίζονται.» A, 102. B. γ.

---

(1) A. 120—123 γ. B. 102. περὶ ψυχ. καὶ ἀν· 241 α. «ἐφυστερίζειν τῶν ψυχῶν τὴν γένεσιν καὶ νεωτέραν τῆς τῶν σωμάτων εἶναι συμπλάσεως, οὐδεὶς ἂν τῶν εὖ φρονούντων ὑπονοήσειεν, φανεροῦ πᾶσιν ὄντος, ὅτι οὐδὲν τῶν ἀψύχων κινητικήν τε καὶ αὐξητικὴν ἐν ἑαυτῷ δύναμιν ἔχει, τῶν δὲ τῇ νηδύϊ ἐντρεφομένων οὔτε ἡ αὔξησις, οὔτε ἡ τοπικὴ κίνησίς ἐστιν ἀμφισβητήσιμός τε καὶ ἀμφίβολος.» A. 123 γ.

Γ'. Τέλος ὁ Γρηγόριος οὐδὲ κατὰ τὴν κοινῶς ἐννοουμένην πάροδον τὴν ψυχὴν γεννᾶσθαι εἰκάζειν βούλεται· ἔστι δ' ἡ τῶν πολλῶν περὶ τῆς παρόδου τῶν ψυχῶν δόξα ἥδε· ὁ Θεὸς δῆλα δὴ ἔπλασε τὸν ἄνθρωπον πρῶτον καὶ εἶτα διὰ τῆς ἐπιγενομένης ἐντολῆς «αὐξάνεσθε καὶ πληθύνεσθε» ἐχαρίσατο τῇ ψυχῇ τῶν πρωτοπλάστων καὶ τῶν ἀπὸ τούτων πάντων τὴν δύναμιν τοῦ γεννᾶν ἐξ ἀλληλογονίας ψυχάς· οὕτω δὲ ἡ τῶν ψυχῶν ἐπαύξησις οὐκ ἀρχική, ἀλλά τις ὕστερον προσγενομένη τῷ ἀνθρώπῳ ἰδιότης, ἀποδείκνυται· συνεπάγεται δ' ἡ δόξα αὕτη ἐκτὸς ἐκείνων, ἃ ἔφθημεν εἰπόντες, καὶ τὰ ἑξῆς ἄτοπα· εἰ γὰρ ὁ Θεὸς μόνον τὸν χοϊκὸν ἄνθρωπον Ἀδὰμ κατ' εἰκόνα αὐτοῦ ἐποίησεν, ἀτελὴς ἐλέγχεται ἡ πρώτη δημιουργικὴ βουλή· εἰ δὲ ὁ Θεὸς διὰ τοῦ «αὐξάνεσθε καὶ πληθύνεσθε» τὴν δύναμιν τοῦ κατὰ πάροδον, ὥσπερ τὰ ζῶα, γεννᾶσθαι ἐνεβάλετο τῷ ἀνθρώπῳ, δῆλον ὅτι ἡ τοῦ Θεοῦ εἰκὼν τῷ κατὰ μέρος ἀνθρώπῳ Ἀδὰμ ἂν προσῆκε· οὐ γὰρ προσέθετο ὁ Θεὸς τὸ «κατ' εἰκόνα», «αὐξάνεσθε καὶ πληθύνεσθε» εἰπών· πάντες ἄρα οἱ ἀπὸ τούτου ἐξ ἀλληλογονίας γεννώμενοι οὔτε κατ' εἰκόνα Θεοῦ, οὔτε ἀθανάτου ἂν ἦσαν φύσεως· τῶν γὰρ λοιπῶν ζώων ἡ εὐλογία ὁμοίως τῷ ἀνθρώπῳ ἐπιγενομένη τοὺς ἐξ ἀλληλογονίας γεννωμένους ἀνθρώπους οὐδὲν πλέον τούτων ἔχειν δείκνυσι· φθαρτοὶ ἄρα καὶ ἄλογοι ἂν ἦσαν οἱ ἄνθρωποι. Ἀλλ' ἐδείχθη ἤδη ὅτι ὁ Θεὸς οὐ τὸν Ἀδάμ, ἀλλὰ πᾶσαν τὴν ἀνθρωπότητα καθόλου ἐδημιούργησεν ἐν ἀρχῇ· ἡ δὲ εἰκὼν πᾶσι διήκει καὶ πάντας ἀθανάτου φύσεως εἶναι πιστεύομεν· οὐκ ἄρα τότε διὰ τῆς εὐλογίας

ἡ τοῦ αὐξάνεσθαι καὶ πληθύνεσθαι δύναμις τῷ ἀνθρώπῳ ἐπεγένετο. (1)

ΣΗΜ. Τινὲς τρία μέρη καθ' ἑαυτὰ χωριστὴν ὑπόστασιν ἔχοντα ὑπολαμβάνοντες τὴν ψυχήν, τὴν μὲν φυτικὴν καὶ αἰσθητικὴν δυνάμει τῆς εὐλογίας, ὥσπερ τὰ σώματα ἀπὸ τῶν σωμάτων γεννᾶσθαι ἐξ ἀλληλογονίας ἐφαντάζοντο· μέρος δ' ὄντα τοῦ σπερματικοῦ λόγου τὸν νοῦν ἀκολούθως ἔξωθεν ἐπεισκρίνεσθαι ἐνόουν· Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς ἐπὶ Χριστοῦ ψυχὴν λέγων ἐνόει τὴν ἄλογον, τῆς δὲ λογικῆς τὸν τόπον ἐπεῖχε τὸ πλήρωμα τοῦ σπερματικοῦ λόγου· «Nicht σῶμα und ψυχὴ für sich bilden ihm die vollständige Menschennatur, sondern erst das Hinzutreten des partiellen Logos macht den Menschen aus,» (Neander Antignost. p. 403. Möller Kosmol. p. 174. 180.) ἔλεγεν ὁ Ἰουστῖνος· οὕτω δ' ἐφρόνει ἐκ τῶν αἱρετικῶν ὁ Ἄρειος καὶ Εὐνόμιος καὶ Ἀπολλινάριος περὶ τῆς ἐνανθρωπήσεως τοῦ *λόγου*· ὁ Εὐνόμιος ἔλεγε «τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενον ἄνθρωπον οὐκ ἀναλαβόντα τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον» Γρηγ. Εὐν. 484. «— ὁ λόγος σὰρξ ἐγένετο, ὡς διὰ τοῦ μὴ συμμνημονευθῆναι καὶ τὴν ψυχὴν κατασκευάζεσθαι τὸ ἄψυχον (ἄλογον) ἀνειλῆφθαι τὴν σάρκα—»· τοιαῦτα δ' ἐδογμάτιζον τὸ ἀναμάρτητον τοῦ *λόγου* ἐξηγούμε-

---

(1) A. 88—101. B. 103, α. 6. «Καὶ αὐτῷ δοκεῖ Ἀπολλιναρίῳ τὰς ψυχὰς ἀπὸ τῶν ψυχῶν τίκτεσθαι, ὥσπερ ἀπὸ τῶν σωμάτων· προϊέναι γὰρ τὴν ψυχὴν κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου τεχθέντας, καθάπερ τὴν σωματικὴν διαδοχήν· μήτε γάρ *ἀποκεῖσθαι* ψυχὰς μήτε νῦν κτίζεσθαι —ἀλλ'— ἀνάγκη καὶ τούτων ἢ θνητὴν εἶναι λέγειν τὴν ψυχὴν ἐξ ἀλληλογονίας γεννωμένην, ἢ μὴ κατὰ διαδοχὴν ἐξ ἀλληλογονίας γεννᾶσθαι τὰς ψυχάς.»

νοι· «ὅπου» γὰρ ἔλεγον «τέλειος ἄνθρωπος ἐκεῖ ἁμαρτία·» καὶ ἀδύνατον ἐν λογισμοῖς ἀνθρωπίνοις ἁμαρτίαν μὴ εἶναι» Ἀθ. πρὸς Ἀπολ. 1, 2. 2, 6. Ἔτι δὲ κατὰ τούτους «εἰ ἀνθρώπῳ τελείῳ συνήφθη Θεὸς τέλειος, δύο ἂν ἦσαν, εἷς μὲν φύσει υἱὸς Θεοῦ, εἷς δὲ θετός. Thomasius Dogmengeschichte p. 205. 206. 300. Nitsch 313. Κοινῶς δὲ τρεῖς ψυχὰς ἀποδεχόμενοι καὶ ἐν Χριστῷ τὴν ἄλογον τιθέμενοι πάντες, περὶ τῆς λογικῆς διεφώνουν· ὁ μὲν γὰρ Ἄρειος λογικὴν ἐν Χριστῷ ψυχὴν ἔλεγε τὸν κτιστὸν καὶ τρεπτὸν τοῦ Θεοῦ λόγον (Ἀρείου Θαλεία παρ' Ἀθαν. 1, 9), οὕτω καὶ ὁ Εὐνόμιος· ὁ δ' Ἀπολλινάριος τὸν *αἰώνιον καὶ ἄτρεπτον Θεὸν λόγον*· «τὴν μὲν ψυχὴν εἰληφέναι τὸν Σωτῆρα· νοῦν δὲ οὐκ ἔχειν αὐτήν, ἀλλ' εἶναι τὸν τοῦ Θεοῦ λόγον ἀντὶ νοῦ εἰς τὸν ἀναληφθέντα ἄνθρωπον» Σωκρ. ἐκκλ. ἱστ. 3, 7. Ἐπιφ. κατὰ αἱρ. 77, 1. 2. Οὓς ἐλέγχων ὁ Γρηγόριος καὶ τῶν δογμάτων τῆς ἐν Νικαίᾳ συνόδου ὑπεραπολογούμενος ἐμμένει λέγων μίαν εἶναι τὴν ψυχήν, τὴν νοερὰν καὶ ἄϋλον· εἰ δ' αὕτη ἐξ ἀλληλογονίας γεννᾶται, δῆλον ὅτι καὶ φθαρτὴ καὶ θνητή ἐστιν· εἰ δὲ ἡ ζωτικὴ ἐνέργεια ψυχὴ ἑτέρα οὖσα ἐξ ἀλληλογονίας γεννᾶται, ἐπεισκρίνεται δ' ἔξωθεν ὁ νοῦς, δῆλον ὅτι ψυχῶν σύγκριμα ἐν ἡμῖν· εἰ δὲ ψυχῶν σύγκριμα, δῆλον ὅτι καὶ διαμάχη· διὰ δὲ δὴ ταύτην καὶ ἡ ἕνωσις δυσχερὴς ἀποκαθίσταται· «οὐδὲ» γὰρ «εἶναι δυνατὸν λογιζόμεθα ἀλλοτρίαις οἰκοδομαῖς τὴν ψυχὴν (νοῦν) ἐναρμόζεσθαι, ὡς οὐκ ἔστι τὴν ἐν τῷ κηρῷ σφραγῖδα πρὸς ἀλλοτρίαν ἁρμοσθῆναι γλυφήν. A. 1258. πρβλ. Herbart Lehrbuch zur Psychologie § 163 Anm. 2.

Οἵαν δ' ὁ Γρ. τὴν τῶν ψυχῶν γέννησιν ὑποτίθεται· οὐδὲ γὰρ βέβαιόν τι καὶ περὶ τούτου εἰπεῖν ἔχει· δῆλον ἐντεῦθεν· «εἰπὼν» γάρ φησιν «ὁ λόγος ὅτι ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, τῷ ἀορίστῳ τῆς σημασίας ἅπαν ἐνδείκνυται τὸ ἀνθρώπινον· οὐ γὰρ συνωνομάσθη τῷ κτί-

σματι νῦν ὁ Ἀδάμ, (1) καθὼς ἐν τοῖς ἑφεξῆς ἡ ἱστορία φησίν, ἀλλ' ὄνομα τῷ κτισθέντι ἀνθρώπῳ οὐχ ὁ τίς, ἀλλ' ὁ καθόλου ἐστίν· οὐκοῦν τῇ καθολικῇ τῆς φύσεως κλήσει τοιοῦτόν τι ὑπονοεῖν ἐναγόμεθα· ὅτι τῇ θείᾳ προγνώσει τε καὶ δυνάμει πᾶσα ἡ ἀνθρωπότης ἐν τῇ πρώτῃ κατασκευῇ περιείληπται· ὥσπερ τοίνυν ὁ τίς ἄνθρωπος τῷ κατὰ τὸ σῶμα ποσῷ περιείργεται καὶ μέτρον αὐτῷ τῆς ὑποστάσεως ἡ πηλικότης ἐστίν, ἡ συναπαρτιζομένη τῇ ἐπιφανείᾳ τοῦ σώματος, οὕτως, οἶμαι, καθάπερ ἐν ἑνὶ σώματι ὅλον τὸ τῆς ἀνθρωπότητος πλήρωμα τῇ προγνωστικῇ δυνάμει παρὰ τοῦ Θεοῦ τῶν ὅλων περισχεθῆναι καὶ τοῦτο διδάσκειν τὸν λόγον τὸν εἰπόντα καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ ἐποίησέν αὐτόν.» A. 88. 90—93. Πᾶσα ἄρα τῆς ἀνθρωπίνης φύσεως ἡ οὐσία τῆς ψυχῆς ἐν τῇ πρώτῃ δημιουργικῇ τοῦ Θεοῦ βουλῇ ἀθρόως τὸ εἶναι ἔλαβεν· ἡ δὲ ταύτης ἐπαύξησις ὁμοίως τῇ τῶν ἀγγέλων, κατὰ Γρ., ἂν ἐγίγνετο διὰ τοῦ πληστηριασμοῦ τῆς οὐσίας, εἰ μὴ ἐπεγίγνετο ἡ πτῶσις· ἣν προϊδὼν ὁ Θεὸς τὸ ἄρρεν τε καὶ θῆλυ τῇ ἀνθρωπίνῃ συνεπήγαγε φύσει καὶ τὴν κατάλληλον τῆς ἐπαυξήσεως ἐπίνοιαν ἐγκατεσκεύασεν, ἀντὶ τῆς ἀγγελικῆς μεγαλοφυίας τὸν κτηνώδη καὶ ἄλογον τῆς ἐξ ἀλλήλων διαδοχῆς τρόπον τῇ ἀνθρωπότητι μεταφυτεύσας· ἡ οὐσία ἄρα τῆς ψυχῆς ἀρχῆθεν προσελάβετο

(1) A. 101 «ἡ μὲν οὖν εἰκὼν τοῦ Θεοῦ ἡ ἐν πάσῃ τῇ ἀνθρωπίνῃ φύσει θεωρουμένη τὸ τέλος ἔσχεν· ὁ δὲ Ἀδὰμ οὔπω ἐγένετο· τὸ γὰρ γήϊνον πλάσμα — λέγεται Ἀδὰμ — διὸ καὶ ὁ Ἀπόστολος — τὸν ἐκ γῆς ἄνθρωπον χοϊκὸν ὀνομάζει.»

τὴν τοῦ αὐξάνεσθαι καὶ πληθύνεσθαι δύναμιν· ἕνεκα τῆς ἐπικειμένης ὅμως πτώσεως διὰ τῆς ἐπιγενομένης εὐλογίας νέος τῶν ἐν τῷ πρώτῳ ἀνθρώπῳ περιορισθεισῶν ψυχῶν τρόπος ἐπαυξήσεως νομοθετεῖται. (1)

Τοιαῦτα δὲ περὶ τῆς οὐσίας καὶ τοῦ πληστηριασμοῦ τῆς ψυχῆς ὑπολαμβάνων ὁ Γρηγόριος εὐλόγως καὶ ἐν τῇ καθ' ἕκαστον γεννήσει τῶν ψυχῶν οὔτε τούτων τὰ σώματα, οὔτε τῶν σωμάτων τὰς ψυχὰς προηγεῖσθαί φησι· «χρὴ γὰρ ἑνὸς ὄντος τοῦ ἀνθρώπου, τοῦ διὰ ψυχῆς καὶ σώματος συνεστηκότος, μίαν αὐτοῦ καὶ κοινὴν τῆς συστάσεως τὴν ἀρχὴν ὑποτίθεσθαι·» (2) ἔτι δὲ ἀκριβέστε-

---

(1) A. 88. 90α—93. 91. 6. «ὁ τὰ πάντα παραγαγὼν εἰς τὸ εἶναι καὶ ὅλον ἐν τῷ ἰδίῳ θελήματι τὸν ἄνθρωπον πρὸς τὴν θείαν εἰκόνα διαμορφώσας οὐ ταῖς κατ' ὀλίγον προσθήκαις ἀνέμεινεν ἰδεῖν ἐπὶ τὸ ἴδιον πλήρωμα τὸν ἀριθμὸν τῶν ψυχῶν τελειούμενον· ἀλλ' *ἀθρόως αὐτῷ πληρώματι πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς* προγνωστικῆς ἐνεργείας κατανοήσας καὶ τῇ ὑψηλῇ τε καὶ ἰσαγγέλῳ λήξει τιμήσας, ἐπειδὴ προεῖδε τῇ ὁρατικῇ δυνάμει —ὡς ἂν μὴ κολοβωθείη τὸ τῶν ψυχῶν τῶν ἀνθρώπων πλῆθος ἐκπεσὸν ἐκείνου τοῦ τρόπου, καθ' ὃν οἱ ἄγγελοι πρὸς τὸ πλῆθος ηὐξήθησαν· διὰ τοῦτο τὴν κατάλληλον τῆς αὐξήσεως ἐπίνοιαν ἐγκατασκευάζει τῇ φύσει.» αὐτ. 123. 6.

(2) Αὐτ. «ἐν τῇ καθ' ἕκαστον δημιουργίᾳ μὴ προτιθέναι τοῦ ἑτέρου τὸ ἕτερον· μήτε τοῦ σώματος τὴν ψυχὴν μήτε τὸ ἔμπαλιν, ὡς ἂν μὴ στασιάζοι (προγενέστερός τε καὶ νεώτερος γένοιτο) πρὸς ἑαυτὸν ὁ ἄνθρωπος τῇ κατὰ τὸν χρόνον διαφορᾷ μεριζόμενος·» 124α. «μίαν ἀμφοτέρων ἀρχὴν κατὰ μὲν τὸν ὑψηλότερον λόγον ἐν τῷ πρώτῳ τοῦ Θεοῦ βουλήματι καταβληθεῖσαν· κατὰ δὲ τὸν ἕτερον ἐν ταῖς τῆς γενέσεως ἀφορμαῖς συνιστα-μένην» —

ρον τῆς κατὰ πάραδον ἢ κατὰ διαδοχὴν γεννήσεως τῶν ψυχῶν τὴν ἀρχὴν ἐξ ἀλληλογονίας σαφηνίσασθαι βουλόμενος ὁ Γρ. ἐξετάζει ἐν ἰδιαιτέρῳ κεφαλαίῳ τὰ διάφορα τοῦ σώματος μέρη καὶ τὸν σκοπὸν αὐτῶν· ὧν τὰ μέν, φησι, πρὸς τὸ ζῆν ἡμῖν ἐδόθη, τὰ δὲ πρὸς τὸ εὖ ζῆν, τὰ δὲ τέλος πρὸς τὸ ἐφεξῆς καὶ τὴν διαδοχὴν βλέπει. (1) Ἐπειδὴ δὲ ἐπὶ τῶν σωμάτων τὸ θερμὸν καὶ ἐνεργὸν καὶ κινούμενον τεκμήριά ἐστι ζωῆς, τὸ δὲ κατεψυγμένον καὶ ἀκίνητον οὐδὲν ἕτερον ἢ νεκρότης ἔςι· τὸ ἀποσπώμενον τοῦ ἀνθρώπου σπέρμα τῶν τῆς ζωῆς ἰδιοτήτων μέτοχον θεωροῦντες εἰκότως αὐτὸ καὶ ἔμψυχον συντεκμαιρόμεθα εἶναι φύσει· οὐ γὰρ πέφυκεν ἐξ ἀψύχου σπέρματος ἔμψυχόν τι γίνεσθαι. Ὅθεν ἡ γεννωμένη τοῦ καθ' ἕκαστον ἀνθρώπου ψυχὴ πᾶσα ἐν τῷ σπέρματι ὑπάρχει, καὶ μετὰ τοῦ σπέρματος τῆς ἐν ἐνεργείᾳ καὶ καθ' ὑπόστασιν ζωῆς ἄρχεται. Ἐπειδὴ δ' ὅλη ἐν τῷ σπέρματι, οὔτε προσλαμβάνει τι ἔξωθέν ποθεν, οὔτ' ἐπεισχρινόμενον τὸν νοῦν δέχεται· τελεία γὰρ οὖσα οὐδενὸς προσδεῖται· τὸ γὰρ αἰσθητικὸν καὶ θρεπτικὸν καὶ λογικὸν αὐτῆς συνυπάρχει τῷ σπέρματι· (2) εἰ δέ τις τὰ περὶ τῆς παρουσίας τῆς ψυχῆς καὶ τοῦ ἀμερίστου ταύτης μερισμοῦ ὑπ' ὄψιν λάβοι (ἴδ. ἀνωτ.), εὐληπτότερον τοῦτο τοῦ Γρηγ. τὸ δόγμα γίνεται. Παραδείγμασι δὲ χρῆται πρὸς πλείονα κατάληψιν τῆς δόξης αὐτοῦ, ὁτὲ μὲν τοῖς λοιποῖς τῶν σπερμάτων καὶ ταῖς τῶν δένδρων ἀποσπάσιν, ὁτὲ δὲ τῷ ἐπὶ τὴν ὕλην ἐπάγοντι τὸ εἶδος τεχνίτῃ, ἔνθα ἡ ψυχή, ὡς καὶ παρὰ τοῖς

(1) A. 127—138.

(2) A. 119. 123. 126. 136γ.

νέοις Πλατωνικοῖς, εἰδοποιὸς λέγεται. Οὕτως ἐν **A. 123.** β. γ. «ὥσπερ ἐν τῷ σίτῳ φαμὲν ἢ ἐν τῷ ἑτέρῳ τινὶ τῶν σπερμάτων ἅπαν ἐμπεριειλῆφθαι τῇ δυνάμει τὸ κατὰ τὸν στάχυν εἶδος, τὸν χόρτον, τὴν καλάμην, τὰς διὰ μέσου ζώνας, τὸν καρπόν, τοὺς αἰθέρικας καὶ οὐδὲν τούτων ἐν τῷ τῆς φύσεως λόγῳ προϋπάρχειν ἢ προγίνεσθαί φαμεν τῇ φύσει τοῦ σπέρματος· ἀλλὰ τάξει τινὶ φυσικῇ τὴν ἐγκειμένην τῷ σπέρματι δύναμιν φανεροῦσθαι, οὐμὴν ἑτέραν ἐπεισκρίνεσθαι φύσιν· κατὰ τὸν αὐτὸν λόγον καὶ τὴν ἀνθρωπίνην σπορὰν ὑπειλήφαμεν ἔχειν ἐν τῇ πρώτῃ τῆς συστάσεως ἀφορμῇ συνεσπαρμένην τὴν τῆν φύσεως δύναμιν, ἐξαπλοῦσθαι δὲ καὶ φανεροῦσθαι διά τινος φυσικῆς ἀκολουθίας πρὸς τὸ τέλειον προϊοῦσαν, οὐ προσλαμβάνουσάν τι τῶν ἔξωθεν εἰς ἀφορμὴν τελειώσεως, ἀλλ' ἑαυτὴν εἰς τὸ τέλειον δι' ἀκολουθίας προάγουσαν·» (1) καὶ **137** γ. δ. «ὁδῷ τινι καὶ ἀκο-

---

(1) Εὐν. 318γ. 415—417. Γ. 426. περὶ ψυχ. καὶ ἀν. 241—243. πρβλ. Möller p. 48, β. 49, γ. Ὁ Stigler εἰς οὐδὲν λογιζόμενος τὰ χωρία, ἐν οἷς ὁ Γρ. ἀποκλειστικῶς τὸν τρόπον τῆς γεννήσεως τῶν ψυχῶν διὰ μακρῶν ἀναπτύσσει, ἢ μὴ πειθόμενος ἐκ τούτων, προσφεύγει εἰς ἕτερα σχεδὸν ἄσχετα, ὧν τὴν ἔννοιαν καταστρέφει, πειρώμενος διὰ μακρῶν δεῖξαι τὰς ψυχὰς κατὰ Γρηγόριον ἑκάστοτε κτίζεσθαι. Οὕτω τὰ ἐκ τοῦ κατηχητικοῦ λόγου σελ. 95—97., ἔνθα ὁ Γρ. τοὺς κατηχουμένους; περὶ τοῦ δυνατοῦ τῆς ἀναγεννήσεως ἀμφιβάλλοντας ὑποτλαμβάνων φησὶν 95, δ... «ἦν — εἰκός ἐστιν ἀπόκρισιν γίνεσθαι ἡμῖν παρὰ τῶν ἐρωτηθέντων, ὅτι πῶς ἐστι πιστὸν ἐξ ἐκείνου (τοῦ σπέρματος) συστῆναι ἄνθρωπον, τοῦτο καὶ περὶ τῆς διὰ

λουθίᾳ διὰ τῶν ὑλικῶν καὶ ζωωδεστέρων τῆς ψυχῆς ἰδιωμάτων ἐπὶ τὸ τέλειον ἄγει τὸν ἄνθρωπον — οὐκ ἄλλης ἐν τῷ ἀνδρὶ τῆς ψυχῆς ἐπειςελθούσης παρὰ τὴν ἐν τῷ μειρακίῳ νοουμένην ἡ νηπιωδεστέρα καταργεῖται διάνοια

τοῦ ὕδατος γινομένης ἀναγεννήσεως ἐρωτηθέντες ἀποκρινούμεθα — 96,α. εἰ — ἡ θεία δύναμις εἰς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην τῷ Θεῷ προςμαρτυροῦντας *δύναμιν* ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος», παραλαμβάνων ὁ Stigler ἐπιφέρει σελ. 81. «Kann nun damit etwas anderes ausgesagt sein, als dass der Same ohne die durch die schaffende Gegenwart Gottes hinzutretende Seele des Lebens entbehrte und folglich auch nicht zur Entwicklung und Verwandlung in einen Menschen käme?» Ἀλλ' ὁ Γρηγ. ἐνταῦθα οὐ τὴν περὶ τῆς γεννήσεως τῶν ψυχῶν δόξαν αὐτοῦ ἐκτίθησιν, ἀλλὰ τοὺς κατηχουμένους εἰς τὴν ὀρθὴν εἰσάγειν πειρᾶται πίστιν, ὁρμώμενος ἐκ τῶν κοινῶν αὐτοῖς περὶ τῆς δυνάμεως τοῦ Θεοῦ ἐννοιῶν· δῆλον δ' ὅτι πάντες τῶν ἐν τῇ φύσει φαινομένων τὰ μὴ νοούμενα τῇ θείᾳ προςγράφομεν δυνάμει· ἀλλ' ἕκαστος οὐ τὴν αὐτὴν περὶ τῆς δυνάμεως τοῦ Θεοῦ ἂν ἔχοι γνώμην. Ὁ Stigler λ. χ. δύναμιν Θεοῦ λέγων μόνην νοεῖ τὴν δημιουργικήν· ὁ δὲ Γρ. καὶ ἑτέραν οἶδε τοῦ Θεοῦ δύναμιν, τὴν προνοητικήν, ἧς «ἔργον ἐστὶ τὸ ἐξ ἀλληλογονίας διασώζειν τὴν τῶν φθαρτῶν ζώων οὐσίαν· λέγω δὲ τῶν μὴ κατὰ σηπεδόνα γινομένων· ἐπειδὴ τὴν τούτων διαδοχὴν σηπεδὼν πάλιν ἑτέρα διαφυλάττει» B. 102, δ. τὸ δ' ἔξωθεν *ἐπεισκρίνεσθαι τὰς ψυχὰς* (hinzutretende Seele) τὸν Γρ. ἀπόβλητον θεωρεῖν ἐδείχθη ἤδη τρανῶς· πρὸς τούτοις δ' ὁ Γρ. τὸ σπέρμα *ἔξει* ἔμψυχον καλεῖ· «ἡ — νεκρότης

καὶ ἡ ἀνδρώδης ἐγγίνεται, ἀλλὰ τῆς αὐτῆς ἐν ἐκείνῳ μὲν τὸ ἀτελές, ἐν τούτῳ δὲ διαδεικνυούσης τὸ τέλειον·» αὐτ. «τοιοῦτόν (οἷον ἐπὶ τῶν λιθογλύφων ἐστὶν ἰδεῖν) τι καὶ ἐπὶ τῆς ψυχῆς λογισάμενος τοῦ εἰκότος οὐχ ἁμαρ-

---

κατὰ ψυχῆς *στέρησιν* γίνεται· οὐκ ἂν δὲ προλάβοι τὴν ἕξιν ἡ στέρησις.» περὶ ψυχ. καὶ ἀν. 241, δ. σχόλιον δέ τι ἀμέσως μετὰ τοῦτο ἑπόμενον ἐν Cod. Mon. B. φησίν· «ὅθεν οὔτε ἐπανέρχεταί ποτε ἡ στέρησις ἐπὶ τὴν ἕξιν, ὥσπερ ἡ τυφλότης ἐπὶ τὴν ὅρασιν· τοὐναντίον γὰρ ἡ ἕξις πρεσβυτέρα (διόρθωσις Κραβιγγέρου ἀντὶ «πρεσβύτερα») ἐστὶν τῆς στερήσεως καὶ πέφυκεν αὐτὴν μεταβάλλειν·» ἔπιθι αὐτ. σημ. πρβλ. A. 119. β. περὶ ἕξεως καὶ στερήσεως παρ' Ἀριστοτ. ἴδ. Strümpell § 121 δ. ἕτερον δὲ χωρίον οὐχὶ ἀσκόπως, φαίνεται, παρεξηγῶν ὁ Stigler ποιεῖ τὸν Γρ. καὶ Μωϋσῆ ἀντιλέγοντα· εὕρηται δὲ τοῦτο ἐν B. 102. 103. β. ἔχον ὧδε·... εἰ — ἐξ ἀλληλογονίας αἱ ψυχαὶ γίνονται, καὶ φθαρταί εἰσι — εἰ δὲ ἐξ οὐκ ὄντων παράγονται, οὐκ ἔστιν ἀληθὲς τὸ τοῦ Μωϋσέως τὸ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· ἄτοπα δὲ ἀμφότερα· οὐκ ἄρα *νῦν* αἱ ψυχαὶ *γίνονται· τὸ γὰρ ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται οὐκ ἐπὶ τοῦ κτίζειν ἀλλ' ἐπὶ τοῦ προνοεῖν εἰρῆσθαι·*» ὁ δὲ Stigler μεθερμηνεύει· «Werden die Seelen durch gegenseitige Erzeugung, dann sind sie auch sterblich — Werden sie aber aus Nichtseiendem hervorgebracht, so ist das Gewordene eine Schöpfung; und es ist nicht wahr, was Moses sagt «Gott ruhte von allen seinen Werken.» Beides ist unstatthaft. Es werden also jetzt die Seelen nicht geboren. Immehin mögen sie (Εὐνόμιος δηλ. καὶ ὁ Μωϋσῆς;) jenes: «Mein Vater wirkt bis jetzt» nicht von der schöpferischen, sondern nur providentiellen Thätig-

τήσεται — ὥσπερ — τῇ κατ' ὀλίγον ἐργασίᾳ τοῦ λίθου τὸ εἶδος ἐπηκολούθησεν, ἀμυδρότερον μὲν παρὰ τὴν πρώτην, τελειότερον δὲ μετὰ τὴν τοῦ ἔργου συμπλήρωσιν, οὕτω καὶ ἐν τῇ τοῦ ὀργάνου γλυφῇ τὸ τῆς ψυχῆς εἶδος

---

keit Gottes verstehen.» σελ. 78 δι' ἁπλῆς δὲ καὶ κακῆς μεταφράσεως κατορθοῖ ὁ Stigler τοὺς συλλογισμοὺς τοῦ Γρηγορίου συλλογισμοὺς ποιεῖν Εὐνομίου καὶ Μωϋσέως, περὶ ὧν ὁ Γρ. ἔφθη εἰπὼν ἐν σ. 102. ὁ γὰρ Εὐνόμιος «ὡρίσατο τὴν ψυχὴν οὐσίαν ἀσώματον *ἐν σώματι κτιζομένην*» καὶ «μετὰ τὴν διάπλασιν τοῦ σώματος ἐμβεβλῆσθαι τὴν ψυχήν, ἤτοι μετὰ τὸ σῶμα γεγενῆσθαι αὐτὴν — συνᾴδει δὲ τούτῳ καὶ τὰ Μωϋσέως· τὴν γὰρ ὕλην πάντων γένεσιν ὑποτίθεται, ὡς δοξάζουσιν οἱ τοῦ Πλάτωνος λόγοι καὶ συμφέρονται» ὁ δὲ Γρηγόριός φησιν ὅτι «διαμαρτάνει τῆς ἀληθείας· οὔτε γὰρ Μωϋσῆς τότε αὐτὴν ἐκτίσθαι λέγει, ὅτε τῷ σώματι ἐνεβάλλετο, οὔτε κατὰ λόγον οὕτως ἔχει·» καὶ προϊὼν «παραιτήσθωσαν, φησὶν ὁ Γρ., λέγειν ἐν σώματι κτιζομένην, ἵνα μὴ θνητῆς ψυχῆς ἔννοιαν παραστήσῃ καὶ παντελῶς ἀλόγου· Ἄλλως τε κατ' αὐτὸν (Εὐνόμιον) οὐ πλήρης ἐστὶν ὁ κόσμος, ἀλλὰ ἡμιτελής ἐστι καὶ νῦν προσθήκης δεόμενος...» τὸ δὲ τελικὸν τοῦ Γρ. συμπέρασμά ἐστιν «οὐκ ἄρα *νῦν* αἱ ψυχαὶ *κτίζονται*»· μικρὸν δὲ πρὸ τούτου φησὶ «τὴν οὖσαν (οὐσίαν τῆς ψυχῆς) κατὰ πρόνοιαν πληστηριάζεσθαι·» αὐτ. 101. δ. 102 α. Κατὰ ταῦτα ὁ Stigler ἀδικεῖ τὸν Γρηγόριον τὴν διδασκαλίαν αὐτοῦ ἑκουσίως παρεννοῶν καὶ κατήγορον Μωϋσέως αὐτὸν ὀνομάζων· αὐτ. 79, 1. ἔπιθι καὶ τὰ ἐν § 9. Γ'. ἐν σημειώσει ῥηθέντα. Ὡς ἐκ περισσοῦ δὲ ἐξετάσωμεν ἔτι ἕνα τοῦ Stigler περὶ τούτου λόγον, χαίρειν ἐῶντες τοὺς λοιπούς. κατὰ γάρ τι λόγιον «ἑνὸς ἀτόπου δοθέντος μυρία ἕψεται.» Ἔστι δ' ὁ λόγος ὅδε· ὁ Γρηγόριος ἐλέγχων τοῦ Ἀπολλιναρίου τὴν δό-

κατὰ τὴν ἀναλογίαν τοῦ ὑποκειμένου προφαίνεται·» B. 25. «ζωοποιὸς καὶ συστατικὴ τῆς τετραστοίχου τοῦ σώματος φύσεως (ἡ ψυχή).

ξαν περὶ τῶν ἐκ μοιχείας γεννωμένων «τῷ τῆς προνοίας λόγῳ καταλείπομέν, φησιν, ἀγνώστῳ παρ' ἡμῖν ὄντι·« αὐτ. 103, 6. ἐντεῦθεν ὁ Stigler εἰκάζει τὰς ψυχὰς *νῦν* κτίζεσθαι· ἴδωμεν δ' εἰ ἀληθής ἐστιν αὐτοῦ ἡ εἰκασία. Κατὰ Γρηγόριον «δοκεῖ Ἀπολλιναρίῳ τὰς ψυχὰς ἀπὸ τῶν ψυχῶν τίκτεσθαι, ὥσπερ ἀπὸ τῶν σωμάτων· προϊέναι γὰρ τὴν ψυχὴν κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου τεχθέντας, καθάπερ τὴν σωματικὴν διαδοχήν· μήτε γὰρ ἀποκεῖσθαι (=τὴν οὖσαν τῆς ψυχῆς οὐσίαν πληστηριάζεσθαι) ψυχάς· μήτε νῦν κτίζεσθαι·» ὁ τοίνυν Ἀπολλινάριος δύο εἴδη τῆς τῶν ψυχῶν γεννήσεως ἀπορρίπτει τὴν τοῦ ἀποκεῖσθαι (προϋπάρχειν δεδημιουργημένας εἶτ' οὖν ἐνεργείᾳ ἐν οὐρανῷ, ὡς Πλάτων καὶ Ὠριγένης ἐδίδαξαν, εἴτ' ὡς Γρηγόριος δυνάμει ἐν τῷ Ἀδάμ), καὶ τὴν τοῦ νῦν κτίζεσθαι. διὸ καὶ δύο λόγους ἐπάγεται ὁ Ἀπολλινάριος· «τοὺς γὰρ ταῦτα λέγοντάς, φησι, συνεργὸν ποιεῖν τὸν Θεὸν τοῖς μοιχοῖς· καὶ γὰρ ἐκ τούτων παιδία τίκτεται· ψεῦδος δὲ εἶναι καὶ τὸ «κατέπαυσεν ὁ Θεὸς (Γεν. 2)—» εἴπερ ἔτι καὶ νῦν ψυχὰς δημιουργεῖ·» ὁ δὲ Γρ. τὸ ἐξ ἀλληλογονίας γεννᾶσθαι τὰς ψυχὰς ἐλέγχων τοῦ μὲν «κατέπαυσεν ὁ Θεὸς—» οὐδὲ κἂν μνείαν ποιεῖται· ἔδει δέ, εἰ νῦν τὰς ψυχὰς κτίζεσθαι ὑπελάμβανε, περὶ τούτου μάλιστα πολὺν τὸν λόγον ποιήσασθαι. Τὸ δ' ἁπλοῦν τῶν ἐκ μοιχείας ἐξηγούμενός φησιν· «εἰ δέ τι δεῖ κατὰ τῆς προνοίας καταστοχάσασθαι, πάντως οἶδε τὸ τικτόμενον ἢ τῷ βίῳ ἢ ἑαυτῷ χρήσιμον ἐσόμενον καὶ διὰ τοῦτο *συγχωρεῖ τὴν ἐμψύχωσιν γίνεσθαι*·» οὐ λέγει *συνδημιουργεῖ*, ἀλλὰ *συγχωρεῖ τὴν ἐμψύχωσιν γίνεσθαι*· ἐκ τούτου δὲ *νῦν* κατὰ Γρηγ. *τὰς ψυχὰς κτίζεσθαι* νοεῖν ἡμῖν γε οὐχ οἷόν τε. πρβλ. Huber 201. 202. Thomasius 440, Nitzsch 349.

§. 11. *Ψυχῶν στάσις.*

Αἱ μὲν οὖν ψυχαὶ κατὰ πάροδον γεννῶνται. Ἐπειδὴ δὲ τὸ ἀεὶ ῥεῖν καὶ χεῖσθαι ἴδιόν ἐστι τῆς ἀλόγου φύσεως, ὁ Γρηγόριος οὐ βούλεται καὶ ἐπὶ τῆς νοερᾶς φύσεως ἀεὶ τὸ αὐτὸ συμβαίνειν ὑπονοεῖν. Ἐπεὶ γὰρ ἡ νοερὰ τοῦ Θεοῦ φύσις μία οὖσα ἐν τρισὶν ὑπάρχει ὑποστάσεσι, τῶν δ' ἀγγέλων ἡ μία οὐσία ἐν ὡρισμέναις τῷ Θεῷ μυριάσιν ἐπηυξήθη, εἰκὸς Γρηγορίῳ δοκεῖ καὶ τῆς ψυχῆς τὴν φύσιν νοερὰν οὖσαν ἐξ ἀρχῆς ἐν ὁρίοις γενέσθαι, ἃ οὐκ ἐξὸν αὐτῇ ὑπερβῆναι· διὸ ὡρισμένον ψυχῶν ἀριθμὸν καὶ ὁ Γρηγόριος ἀποδέχεται. Ὥσπερ οὖν τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων ἡ φύσις ἐν τῷ ἰδίῳ πληρώματι ἑκατέρα ἵσταται αὐξήσεως καὶ μειώσεως οὖσα ἀνεπίδεκτος, οὕτω καὶ τῶν ἀνθρώπων τὴν νοερὰν οὐσίαν, ἐπεὶ δὴ τῆς νοητῆς φύσεως οὐκ ἠλλοτρίωται, οὐ δεῖ διὰ παντὸς ῥεῖν, ἀλλά ποτε στῆναι· εἰ γὰρ ἡ τῶν ἀνθρώπων φύσις ἀεὶ ῥεῖ, καὶ διὰ τῶν ἐπιγινομένων ἀεὶ χεῖται, ἀνάγκη ταύτην καὶ ἀεὶ ἐλλιπῶς ἔχειν λογίζεσθαι· «ἡ γὰρ τῶν ἐπιγινομένων προσθήκη κατηγορία τοῦ ἀεὶ ἐλλιπῶς ἔχειν τὴν φύσιν γίνεται·» ἀλλὰ μὴν οὐκ εἰκὸς λέγειν τὴν νοερὰν φύσιν ἐλλιπῶς ἔχειν ἀεί· οὐκ οὖν εἰκὸς οὐδὲ τὴν ἀνθρωπίνην φύσιν ἀεὶ ῥεῖν ὑπολαμβάνειν. Ἐνταῦθα δ' ὁ Γρηγόριος καὶ στάσιν τῆς τῶν ψυχῶν ἐπαυξήσεως προορᾷ· στήσεται γάρ ποτε τὸ ῥοῶδες τοῦτο, φησὶν ὁ λόγος. Τοῦτο δὲ γενήσεται, ἐπειδὰν εἰς πέρας ἔλθῃ τῆς ἀνθρωπίνης φύσεως τὸ πλήρωμα καὶ μηδὲν λείπῃ τῷ ἀριθμῷ τῶν ψυχῶν εἰς ἐπαύξησιν· συναπαρτισθήσεται δὲ τῷ ἀριθμῷ τῶν ψυχῶν καὶ ὁ σύμμετρος τούτῳ χρόνος. Ἐπειδὴ δὲ

πάντοτε ἐφ' ἑαυτῆς ἐστιν ἡ οὐσία τῆς ψυχῆς, ἡ κατὰ χρόνον διαφορά, δι' ἣν ἡ καθ' ἕκαστον ψυχὴ πρεσβυτέρα καὶ νεωτέρα λέγεται, οὐδὲν πλέον ἔχει· εἴτε γὰρ περιέχων εἴτε παραρρέων τὴν φύσιν ὁ χρόνος κατὰ τὸν ἴδιον φέρεται τρόπον· ἀλλ' οὐ συναλλοιοῦται τῷ χρόνῳ ἡ ἀεὶ παγία καὶ ἀμετάθετος ἐν τοῖς ἰδίοις ὅροις μένουσα νοερὰ φύσις. Ἐπακολουθήσει δὲ τούτοις τὰ μηκέτι σαλευόμενα, ἥ τε ἀνάστασις καὶ ἡ κρίσις καὶ ἡ τῶν πάντων ἀποκατάστασις ἐν τῇ ὀγδόῃ, ἐν ᾗ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν ἔσται. (1)

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἡ ψυχὴ ἀπὸ τῆς διαλύσεως τοῦ σώματος μέχρι τῆς εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως.

§ 12 *Πόθεν ὁ θάνατος;*

Ὥσπερ ἤδη ἐν § 5 ἐρέθη, ὁ ἄνθρωπος ἐπλάσθη κατ' εἰκόνα τοῦ αὐτὸν δημιουργήσαντος· ὃς πρὸς τὰ ἐν αὐτῷ παραδείγματα βλέπων «οἷόν τινας γνωριστικοὺς χαρακτῆρας τῇ φύσει τῶν ἀνθρώπων ἐνεσημήνατο» θείας ἰδιότητας· πάντων γὰρ τῶν ἀγαθῶν ὁ Θεὸς δούς, τοῦ δὲ νοῦ μεταδοὺς τῷ ἀνθρώπῳ ἀπειργάσατο αὐτὸν τὸ ἀκρότατον καὶ τελειότατον τῶν ἀγαθῶν· ἐποίησεν οὖν ὁ Θεὸς τὸν ἄνθρωπον δίκαιον καὶ καθαρὸν καὶ μακάριον καὶ ἀπαθῆ καὶ ἀθάνατον· ἔτι δὲ ἀδέσποτον καὶ αὐτεξούσιον,

---

(1) Α. 74. 75. 500. 88, 6. 101. 102. δ περὶ ψυχ. καὶ ἀν. 147—151. 224 α—δ. πρὸς Εὐν. 321 α—γ—Α. 368, δ—711. Β. 12—Γ. 273, α περὶ ψυχ. καὶ ἀν 228, δ. 254 γ.

κακοῦ παντὸς ἀμιγῆ καὶ ἀλλότριον, τοῖς ἀγγέλοις ὁμότιμον καὶ τὴν ἐπὶ τοῦ Θεοῦ παρρησίαν ἔχοντα. Κατὰ ταῦτα οὐκ ἦν ἐν τῇ εἰκόνι τοῦ Θεοῦ οὔτε θάνατος οὔτε τι τῶν παθῶν, ἃ νῦν συνθεωρεῖται τῇ συγκεκραμένῃ τοῦ ἀνθρώπου φύσει. Πόθεν οὖν τὰ πάθη καὶ ὁ θάνατος; Ἐπεγένετο ταῦτα, φησίν ὁ Γρηγ., ἐκ τῆς ἀλόγου φύσεως· τὸ δ' ὅπως ἐξηγούμενος προσφεύγει εἰς τὴν περὶ τῆς πτώσεως ἱστορίαν τῆς Γενέσεως, ἣν καὶ ἀλληγορικῶς ἑρμηνεύει. Ποιήσας γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον ἔθετο αὐτὸν ἐν παραδείσῳ, ὅς, κατὰ Γρηγ., τὴν τρυφὴν τῶν θείων δηλοῖ ἀγαθῶν· προγνοὺς δὲ τὴν ἀπὸ τούτων εἰς τὰ ἐναντία ροπήν, ἐνετείλατο αὐτῷ ἀμιγῆ τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν ἀπαγορεύσας τὴν ἀπὸ τοῦ Θεοῦ ἔκπτωσιν. (1)

Ἀλλ' ὁ διάβολος (§ 4.) διὰ τὴν εἰκόνα φθονήσας τὴν ὑποχείριον αὐτῷ φύσιν πειρᾶται στερῆσαι τῶν θείων ἀγαθῶν τὸν ἄνθρωπον «ὡς ἂν εὐάλωτος αὐτῷ πρὸς τὴν ἐπιβουλὴν κατασταίη·» μὴ ὢν δ' οἷός τε ἰσχύι καὶ βίᾳ τοῦτο κατεργάζεσθαι, ἐπινοεῖ τὴν ἀπάτην. Ἐπειδὴ γὰρ εἶδε τὴν προαίρεσιν τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ μένουσαν, ἐγκατέμιξε τούτῳ τὴν κακίαν, ἣ ἐγκεκρυμμένον εἶχεν ἐν ἑαυτῇ τὸν δόλον· δοκεῖ γὰρ Γρηγ. τὴν κακίαν ἐν μόνῃ τῇ στερήσει τοῦ ἀγαθοῦ τὸ εἶναι ἔχειν καὶ κατὰ τὸ δοκοῦν. Καὶ τοιαῦτα μὲν ὁ δαίμων ἐμηχανήσατο, ἵνα παραστήσῃ τῷ ἀνθρώπῳ τὸ μὴ ὂν ὡς ὄντως ὄν· νήπιος δ' ἔτι ὢν ὁ ἄνθρωπος καὶ οὔπω ἕξιν τινὰ καὶ πεῖραν ἐν τῷ ἀγαθῷ ἔχων μεταξὺ τοῦ ὄντως καλοῦ καὶ τοῦ

(1) A. 52—55 γ. 86, δ. 493 γ. 436, δ. 62, ε. Γ. 633 α. A. 90—96—. 496—497 δ. 785, δ. 787, δ. 804—805.—

κατὰ τὸ φαινόμενον μόνον τὴν διάκρισιν ποιήσασθαι οὐκ ἠδύνατο· τῆς ἐντολῆς δ' ἐπιλαθόμενος προείλετο τὸ κατὰ φαντασίαν καλόν· οὕτω δὲ τοῦ πονηροῦ ὁ φθόνος καὶ ἡ ἀπάτη καὶ τοῦ ἀνθρώπου ἡ ἄγνοια καὶ ἡ λήθη καὶ ἡ προαίρεσις, ἐξ ἧς ἡ παρακοὴ τῆς θείας ἐντολῆς αἰτία ἐγένοντο τῶν νῦν παθῶν τοῦ ἀνθρώπου καὶ τοῦ θανάτου· προελόμενος γὰρ ὁ ἄνθρωπος ἀκρίτως τὸ μὴ ὂν ἀπερρύη τοῦ ὄντως ὄντος· ἡ δ' ἀπορροὴ συνεπηγάγετο ἀναγκαίως τῆς εἰκόνος τὴν ἀμαύρωσιν καὶ τὸν θάνατον· οὐ γὰρ φύσει, ἀλλὰ κατὰ μετοχὴν ἀθάνατος ἦν ὁ ἄνθρωπος, ἧς στερηθεὶς θνητὸς ἐγένετο. Ἐπειδὴ τοίνυν, κατά τι τοῦ Γρηγ. ἀξίωμα «εἰ ὑφέστηκε νοερόν τι χρῆμα ζῇ πάντως·» ὁ ἄνθρωπος νοερᾶς φύσεως ὢν ἔδει ζῆν. Ὅθεν, ἵνα μὴ κολοβωθῇ διὰ τοῦ θανάτου ὁ ἐν τῷ ἀνθρώπῳ περιορισθεὶς τῶν ψυχῶν ἀριθμός, εἰς δίκην τοῦ πλημμελήματος περιεβλήθη τὸ ἀνθρώπινον, ἀντὶ τοῦ ἀνωφεροῦς καὶ λεπτοῦ καὶ κούφου καὶ ἀφθάρτου σώματος (τοιοῦτον γὰρ τὸ ἀρχικὸν τοῦ ἀνθρώπου σῶμα), τὸ μεθ' ἑαυτοῦ τὰς ἰδιότητας τῆς ἀλόγου φύσεως φέρον βαρὺ καὶ κατωφερὲς καὶ φθαρτὸν τοῦτο σῶμα· ἀνάλογον δ' ἔλαβε τὴν τιμωρίαν καὶ ἡ συναμαρτήσασα τῷ σώματι ψυχή, ἐν τοιαύτῃ γενομένη περιβολῇ, ἀφ' ἧς αὐτὸ τὸ θεῖον κάλλος ἰδεῖν καὶ τῆς ζωῆς μετέχειν ἀμήχανον· γενομένων δὲ τούτων ὁ ἄνθρωπος παραμένει χρόνον τινὰ ἐν τῇ κατ' αἴσθησιν ζωῇ, μεθ' ὃ ἡ ψυχὴ τῶν περιττῶν καὶ ἀχρήστων διὰ τοῦ θανάτου ἀπαλλαγεῖσα ἄρχεται αὖθις τὸ θεῖον κάλλος ὁρᾷν. Οἰκονομικῶς δὲ καὶ ἐκ κρείττονος τοῦ Θεοῦ προμηθείας ἐπεγένετο

ταῦτα τῷ ἀνθρώπῳ, ἵνα, ὅταν οὗτος διὰ τῆς ἀναστάσεως ἀνακτήσηται ἐν τῇ ἀποκαταστάσει τελείαν τὴν εἰκόνα, ἐκ πείρας μαθὼν τί τὸ ὄντως ὂν καὶ τί τὸ ἐκτὸς τῆς προαιρέσεως μηδεμίαν ὑπόστασιν ἔχον, μὴ ὄν, μηκέτι ἀποκλίνῃ τῆς τοῦ ἀγαθοῦ μετοχῆς· διδασκαλεῖον γὰρ ἀρετῆς γίνεται τοῖς μὲν ὁ παρὼν βίος, τοῖς δ' ὁ μετὰ θάνατον. (1)

§ 13. *Ἡ ψυχὴ μὴ οὖσα ὕλη μένει καὶ μετὰ θάνατον.*

Ἐν μὲν τοίνυν τῷ κατ' αἴσθησιν θανάτῳ, τῆς συμφυίας τοῦ σώματος λυθείσης, ἕκαστον τῶν συναπαρτιζόντων τὸ σῶμα στοιχεῖον φύσει πρὸς τὸ ὁμογενὲς καὶ οἰκεῖον ῥέπει. Ἀλλὰ τῶν Ἑλλήνων φιλοσόφων οἱ ἀπὸ τῆς Στοᾶς καὶ ὁ Ἐπίκουρος τὸν πυρῆνα τοῦ ὑλισμοῦ ἐκ τῆς ἰωνικῆς παραλαβόντες φιλοσοφίας καὶ διαλεκτικῶς ἀναπτύξαντες ἀρχὴν τῶν ὄντων ἐδογμάτιζον εἶναι τὴν ὕλην· ὡς δ' ὂν χαρακτηρίζοντες μόνον, ᾧ τὸ ποιεῖν καὶ πάσχειν ἴδιον, καὶ τὴν ψυχὴν σῶμα ἔλεγον εἶναι· τὸ γὰρ ἀσώματον οὐκ ἐδόκει αὐτοῖς οἷόν τε εἶναι ποιεῖν τι ἢ πάσχειν· οὐ μόνον δὲ ἀλλὰ καὶ σύνθετον σῶμα τὴν ψυχὴν ἐφαντάζοντο· τὸ γὰρ ἡγεμονικὸν καὶ τὰς πέντε αἰσθήσεις καὶ τὸ ἐπιθυμητικὸν καὶ θυμοειδὲς καὶ τὰς ἀρετὰς καὶ τὰς κακίας καὶ πᾶν πάθος, ψυχῆς μέρος σωματικὸν ἔλεγον. Ἐκ δὲ τοῦ ὅλου οὖσαν τὴν ψυχὴν μέρος αὐτὴν

---

(1) Λόγ. κατ 55γ—57α. 78. Α. 97. 447. 493. Γ. 327. 423. 634—636. περὶ ψυχ. καὶ ἀν. 227. 237. 181. 182. 189. Α, 100. Γ. 331. 623. 635. περὶ ψυχ. καὶ ἀν. 254.

καὶ ἀπόρροιαν καὶ ἀπόσπασμα Θεοῦ ἐκάλουν· ἔλεγον γὰρ «ἐκ σοῦ (τῆς φύσεως) πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα.» Ἐντεῦθεν δ' ὑπελάμβανον τὴν ψυχὴν μετὰ τὴν διάλυσιν τοῦ σώματος εἰς τὸ σύνολον τῆς φύσεως διαχεῖσθαι, καὶ ἀπὸ τοῦ νῦν ὄντος μεταχωρεῖν εἰς τὸ νῦν μὴ ὄν· θάνατος γὰρ αὐτοῖς «ἐστὶ μεταβολὴ μείζων οὐκ ἀπὸ τοῦ νῦν ὄντος εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν.» Ὅθεν οὐ φθορὰν τῆς τε ψυχῆς καὶ τοῦ σώματος γίνεσθαι ἐνόουν μετὰ θάνατον, ἀλλὰ ζωὴν ἄλλην ἐν ἄλλῃ μορφῇ· «οὐκέτι οὖν ἔσομαι;» ἠρώτων· «οὐκ»· ἀπεκρίνοντο· «ἔσει, ἀλλ' ἄλλο τι, οὗ νῦν ὁ κόσμος χρείαν ἔχει·» ἔπιθι Zeller ἔνθα ἀνωτέρω σελ. 180—183. 372. 376, 2, 387, 3. τούτων δὲ τὴν ἀναίρεσιν παρὰ Νεμησ. περὶ φύσ. ἀνθρ. Ηλωτίνῳ ἐνν. δ'. 7, 2—8. 6, 1. Γρηγ. τόμ. Β· σελ. 91. Stigler § 5. πρβλ. Immanuel H. Fichte, Anthropologie, Leipzig 1860 § 29.

Ἦν δὲ τῶν εἰρημένων φιλοσόφων ἡ περὶ τῆς ψυχῆς δόξα ὥσπερ ἐπὶ τῶν ἀποστολικῶν χρόνων, οὕτω καὶ ἐπὶ Γρηγ. ἔτι ἔναυλος· ὁ οὖν Γρηγ. ἀθάνατον τὴν ψυχὴν δεῖξαι βουλόμενος ἔδει πρῶτον τούτων τὰς σωματικὰς περὶ τῆς ψυχῆς δόξας ἐλέγξαι καὶ ταύτης τὸ νοερὸν καὶ ἄϋλον ἀποδεῖξαι· ἀκολούθως δ' ἐκ τῆς τοῦ λόγου ἀνάγκης κατάδηλον ποιῆσαι τὸ τὴν ψυχὴν τὴν αὐτὴν ἔν τε τῷ κατ' αἴσθησιν βίῳ καὶ μετὰ θάνατον μένειν· διὸ ἐν πολλοῖς τῶν συγγραμάτων αὐτοῦ οὐκ ἄνευ τινὸς σκοποῦ ἀόκνως πολὺν λόγον ποιεῖται περὶ τῆς ὕλης· ἰδίᾳ δ' ἐν τῷ Β'. 91— καὶ ἐν τῷ «περὶ ψυχῆς καὶ ἀναστάσεως» διαλόγῳ ἐλέγχει τοὺς δογματίζοντας τὴν ὕλην ἀρχὴν

τῶν ὄντων, κοσμολογικῇ χρώμενος ἀποδείξει· φησὶ γὰρ «ἱμάτιον μέν τις ἰδὼν τὸν ὑφάντην ἀνελογίσατο, καὶ διὰ τῆς νηὸς τὸν ναυπηγὸν ἐνενόησεν· ἤτε αὖ τοῦ οἰκοδόμου χεὶρ ὁμοῦ τῇ τοῦ οἰκοδομήματος ὄψει τῇ διανοίᾳ τῶν θεωμένων ἐγγίνεται. περὶ ψυχ. καὶ ἀν. 186 α.—» Καὶ ταῦτα μὲν πρὸς τὸ εὔληπτον ποιῆσαι τὴν τοῦ ὑπερτάτου ὄντος ὕπαρξιν. Ὥσπερ δὲ τοῦτο πρὸς τὸν κόσμον ὁρῶντες ὑπάρχειν ἐννοοῦμεν, οὕτω καὶ περὶ τῆς ὑπάρξεως τῆς ψυχῆς βεβαιούμεθα πρὸς τὸν ἐν ἡμῖν αὐτοῖς βλέποντες κόσμον καὶ τὸ ὄντως ὂν ἐν ἡμῖν, ἢ ἡμᾶς αὐτούς, γινώσκοντες (αὐτ. 188 γ. Γ. 624—625 α.—). Τὸ γὰρ νεκρὸν καὶ ἄψυχον σῶμα ἔχει μὲν πᾶν ὅ τι περ καὶ τῷ ζῶντι σύνεστιν ἐκ τῶν τῆς φύσεως στοιχείων, ἀλλ' ἀκίνητον καὶ ἀνενέργητον μένει (Γ. 633.). Τοὐναντίον δὲ πρόδηλός ἐστι τοῦ ζῶντος σώματος ἥτε κίνησις καὶ ἡ ἐνέργεια· ὅ,τε γὰρ ἰατρὸς διὰ τῆς ἁφῆς ἤ τινος τῶν λοιπῶν αἰσθητηρίων ὀργάνων περὶ τοῦ εἴδους τοῦ νοσήματος διδάσκεται, καὶ ὁ ἀστρονόμος διὰ τῆς ὄψεως περὶ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ οἱ λοιποὶ πάντες, περὶ ὧν ἡμᾶς μετ' ἐπιστήμης γινώσκειν οἷόν τε· ἀλλ' ἑκάστη τῶν αἰσθήσεων οὖσα ἐφ' ἑαυτῆς οὐδὲν πρὸς τὴν τοῦ ζητουμένου ἐπίγνωσιν ἐνεργεῖ· αἱ δὲ αἰσθήσεις ἐξ ὕλης δῆλα δή εἰσιν· ἀνάγκη ἄρα τῶν μετ' ἐπιστήμης γινωσκομένων τὴν κατάληψιν ἐννοεῖν διά τινος ἐνυπαρχούσης ἡμῖν δυνάμεως παρὰ τὴν ὕλην καὶ τὰ στοιχεῖα γίνεσθαι (αὐτ. 189. 190.). Εἰ δ' ἡ ψυχὴ οὐκ ἔστιν ὕλη, δῆλον ὅτι οὐδὲ σῶμα· πᾶν γὰρ σῶμα δεῖται τοῦ συνέχοντος· εἰ δὲ σῶμά ἐστι τὸ συνέχον, τί ἂν εἴη αὖ τὸ τοῦτο συνέχον; οὕτω δὲ καταντῶ-

μεν εἰς τὸ ἀσώματον, ὃ οὐ δεῖται τοῦ συνέχοντος. (1) Καὶ εἴ τις εἴποι τὴν ψυχὴν ὕλης ἰδιότητα· δοκεῖ γὰρ τὰ μηχανήματα ἐξ ὕλης μόνης συνίστασθαι· οὗτος λέληθεν ἑαυτὸν τῶν μηχανοποιῶν τὴν ἐν εἴδει ψυχῆς προσγινομένην τῇ ὕλῃ τέχνην ὕλης ἰδιότητα ἀποκαλῶν· πᾶν γὰρ μηχάνημα ἐξ ὕλης ἐστὶ καὶ τέχνης· τῆς δὲ τέχνης προηγεῖται θεωρητικὴ καὶ ἐφευρετική τις δύναμις· εἰ δ' ἦν ἐν τῇ ὕλῃ τοιαύτη τις ἰδιότης τὸ θεωρητικὸν καὶ ἐφευρετικὸν καὶ τὴν τούτων ἐφαρμογὴν ἐν ἑαυτῇ ἔχουσα, «αὐτομάτως ἂν ἡμῖν συνέστη τὰ μηχανήματα·» ἀλλὰ μὴν οὐδὲν ὑπὸ τῆς ὕλης ἐστὶν αὐτομάτως ἐνεργούμενον· ὅ τε γὰρ χαλκὸς τῆς τέχνης ἄνευ ἀνδρείκελος οὐ γίνεται καὶ ὁ αὐλὸς ἐφ' ἑαυτοῦ οὐκ ἠχεῖ τοῦ ἀέρος προσδεόμενος· οὔτε σῶμα ἄρα ἐστὶν ἡ ψυχή, οὔτε τις τῶν στοιχείων ἰδιότης, ἀλλά τις οὐσία νοερὰ καὶ ἀσώματος (αὐτ. 185. 194. Γ. 625).

Δείξας ὁ Γρ. τὴν ψυχὴν ἄϋλον καὶ ἀσώματον πειρᾶται ἐντεῦθεν καὶ ταύτης τὸ ἀθάνατον ἀποδεῖξαι· τοῦτο δὲ ποιεῖ τὸ ζῶν σῶμα καὶ τὴν ἐνθεωρουμένην τούτῳ

---

(1) Β'. 91, αβ. Νουμην. περὶ φύσ. ἀνθρ. 2 σελ. 29. Τὰ σώματα τῇ οἰκείᾳ φύσει τρεπτὰ καὶ σκεδαστὰ δι' ὅλου καὶ εἰς ἄπειρον τμητὰ ἐν αὐτοῖς μηδενὸς ἀμεταβλήτου ὑπολειπομένου δεῖται τοῦ συνέχοντος καὶ συνάγοντος καὶ ὥσπερ συσφίγγοντος καὶ συγκρατοῦντος αὐτά, ὅπερ ψυχὴν λέγομεν· εἰ τοίνυν σῶμα ἡ ψυχὴ οἱονδήποτε, εἰ καὶ λεπτομερέστατον· τί πάλιν ἐστὶ τὸ συμφέρον ἐκείνῃ; ἐδείχθη γὰρ πᾶν σῶμα δεῖσθαι τοῦ συνέχοντος· καὶ οὕτως ἐπ' ἄπειρον, ἕως ἂν καταντήσωμεν εἰς ἀσώματον.» πρβλ. Ηλωτ. ἐνν. δ'. 7, 2—8. Stigler §. 5.

ψυχὴν καθ' ἑαυτὴν διεξετάζων ἑκατέραν καὶ ἐν τῇ συναφείᾳ ἀμφοτέρων. Ἔστι τοίνυν ἡ ψυχὴ οὐσία νοερά, ἧς ἡ φύσις ἁπλῆ τίς ἐστι καὶ μονοειδής, συνθέσεώς τινος ἢ ἀναλύσεως ἀνεπίδεκτος· διὸ ἀεὶ ἡ αὐτὴ μένει καί, ὡς ἐρέθη, οὐκ ἀντικαθίσταται ἀντ' ἄλλης τινος ἔξωθεν ἐπεισκρινομένης. Καθ' ὃ δὲ τοιαύτη ἑτερογενῶς ἔχει πρὸς τὸ σῶμα· ἀλλ' οὐδὲν ἧττον ἐκ τῶν ἐνεργειῶν αὐτῆς μανθάνομεν τὴν ἀναμφίβολον ἐν τῷ ζῶντι σώματι ὕπαρξιν, ἐξ ἧς καὶ καλοῦμεν αὐτὸ ζῶν καὶ ἔμψυχον, οὐχὶ δὲ νεκρὸν καὶ ἄψυχον. Τὸ δὲ σῶμα τὸ ἔμψυχον συνδρομὴ καὶ συμπλοκή ἐστι τῶν τῆς φύσεως στοιχείων, ἅτινα οὐδέποτε τὰ αὐτὰ μένει· πάντα γὰρ ἀεὶ ἀλλοιοῦταί τε καὶ θνήσκει καὶ ὡς ἄχρηστα καὶ ἀπόβλητα ὑπὸ τοῦ ζῶντος σώματος ἐκβάλλεται· προσάγεται δ' αὐτῷ ἑκάστοτε ὡς ἔρανος ἔξωθεν ἕτερα τὸ κενὸν ἀναπληρώσοντα, καὶ τούτων αὖθις ἀποκριθέντων τοῦ σώματος ἕτερα· πᾶν δ' ἐκ νέου προσγινόμενον τῷ σώματι στοιχεῖον τῇ τῆς ψυχῆς ἐνεργείᾳ συγκρατεῖται καὶ ζῇ ἕως ἂν εὔχρηστον τῷ σώματι ᾖ. Ὥστε συμβαίνει τῷ ἐμψύχῳ σώματι, ἐν ᾧ ἂν χρόνῳ τῆς ψυχῆς μετέχῃ, συνεχής τις τῶν τῆς φύσεως στοιχείων πρόσληψις καὶ ἀποβολή. Ἀλλ' ἡ ἀδιάλειπτος αὕτη συνδρομὴ τῶν στοιχείων εἰς τὸ σῶμα, καὶ ἡ ἀναδρομὴ στοιχείων ἄλλων ἀπὸ τοῦ σώματος εἰς τὴν οἰκείαν ἕκαστον φύσιν οὐδὲν ἄλλο ἐστίν, ἢ διηνεκὴς στοιχείων τινῶν τοῦ σώματος θάνατος, κατὰ μικρὸν δὲ καὶ ὅλου τοῦ σώματος. Ἀλλὰ μὴν τοῦ σώματος καθ' ἑκάστην θνήσκοντος, ἡ ψυχὴ οὐ συναποθνήσκει τούτῳ· μᾶλλον δὲ ἀδιαλείπτως ποιεῖ τὸ σῶμα ζῆν· ἡ ψυχὴ ἄρα ἐν

τῷ ζῶντι σώματι ἀθάνατός ἐστι. Δειχθέντος δὲ τούτου οὐκ ἀπεικὸς Γρηγορίῳ δοκεῖ τὴν ἐν τῷ ζῶντι σώματι ἀθάνατον μένουσαν ψυχὴν ταύτην αὐτῆς τὴν ἰδιότητα νοεῖν καὶ τελέως τοῦ σώματος ἀπαλλαγεῖσαν ἐν τῷ νεκρῷ καὶ ἀψύχῳ σώματι καὶ μετὰ τὴν τῶν στοιχείων διάχυσιν οἵαν τε εἶναι φυλάττειν. Ἐπειδὴ καὶ περὶ τῶν στοιχείων, οἷς πέφυκεν ἡ μεταβολὴ καὶ ἀλλοίωσις, οὐκ ἔστι κυρίως εἰπεῖν μετὰ θάνατον μὴ εἶναι· τῆς γὰρ συμπλοκῆς λυθέντα οὐκ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ σύμφυλον καὶ οἰκεῖον αὑτῷ ἕκαστον μεταχωρεῖ· εἰ δὲ τὰ στοιχεῖα καὶ θνήσκοντα ζῇ, πόσῳ μᾶλλον ἡ ἁπλῆ καὶ νοερὰ τῆς ψυχῆς φύσις; Ὥσπερ οὖν τὸ θεῖον καὶ ἑτερογενῶς πρὸς τὰ στοιχεῖα ἔχει καὶ ἐν πᾶσίν ἐστι, συνέχει τε καὶ διακρατεῖ τούτων τὴν ἀεὶ ῥέουσαν φύσιν εἰς πᾶν διαδυόμενον, ἀλλ' ἄτοπον οἴεσθαι τοῦτο, διὰ τὸ μὴ συγγενῶς τοῖς στοιχείοις ἔχειν, ἐνεῖναι τούτοις ἀδυνατεῖν, ἢ διὰ τὸ ἐν τοῖς στοιχείοις εἶναι μηδόλως ὑπάρχειν· οὕτω καὶ ἡ εἰκὼν τοῦ θείου ζῶντός τε τοῦ ἑτεροφυοῦς σώματος καὶ ἀποθνήσκοντος ὑπάρχει ἀθάνατος· καὶ γὰρ καὶ ταύτῃ κατὰ τὸν λόγον τῆς φύσεως οὐδὲν τῶν ἐν τῷ κόσμῳ θεωρουμένων συμβαίνει. (1)

---

(1) Περὶ ψυχ. καὶ ἀν. 086. 195—197. Γ. 624—633 α. «ἐμμελετᾷ τῷ θανάτῳ δ.ὰ παντὸς ἡ φύσις καὶ συμπέφυκε διὰ τοῦ χρόνου προτούσῃ τῇ ζωῇ πάντως ὁ θάνατος· πρὸς γὰρ τὸ μέλλον τοῦ παφῳχηκότος τῆς ζωῆς πάντοτε κινουμένης καὶ οὐδέποτε πρὸς τὸ κατόπιν ἀναλυούσης, θάνατός ἐστι τὸ πάντοτε τῇ ζωτικῇ ἐνεργείᾳ συνημμένως ἑπόμενον· ἐν γὰρ τῷ παρῳχηκότι τοῦ χρόνου παύεται πάντως πᾶσα κίνησις ζωτικὴ καὶ

§ 14. *Ἡ ψυχὴ τοῦ σώματος διαλυθέντος ἐν πᾶσιν ὑπάρχει τοῖς στοιχείοις.*

Ἀλλ' ἐν τοῖς ἄρτι ῥηθεῖσιν δέδεικται μὲν ἱκανῶς τὸ μὴ εἶναι ταὐτὸν τῷ φαινομένῳ (τῷ σώματι) τὸ μὴ φαινόμενον (τὴν ψυχήν), καὶ τοῦτο ἐν τῷ ζῶντι σώματι ἀθάνατον διατελεῖν· οὐ πάνυ δέ τι δῆλον εἰ ἡ ψυχὴ καὶ ἔξω τοῦ σώματος γενομένη ἔτι ἀθάνατός ἐστι· ἐν ᾧ γὰρ ἂν τόπῳ τινὶ τὴν ψυχὴν εἶναι δοκεῖ, ἐκ τούτου ἂν τις τὴν ψυχὴν μόνου οὐκ οἷός τ' ἂν εἴη δεῖξαι θνητὴν μᾶλλον ἢ ἀθάνατον· τῆς γὰρ τοῦ σώματος συμφυίας λυθείσης, τὰ στοιχεῖα φύσει διαχεῖταί τε καὶ μίγνυται· μεταβολῆς δὲ καὶ ἀλλοιώσεως προσγινομένης αὐτοῖς εἰς τὸ νῦν μὴ ὂν μεταχωρεῖ ἐξ ἀνάγκης. Ἀλλ' ὡμολογήθη τὴν ψυχὴν ἁπλῆν τινα φύσιν καὶ ἀσύνθετον καὶ ἀδιάστατον εἶναι· εἰ δ' αὕτη οὕτως ἔχει, οὐ διαχεῖται οὐδὲ κατακερματίζεται· οὐκοῦν οὐδ' ἐν ἅπασι τοῖς στοιχείοις ὑπάρχει, ἀλλ' ἔν τινι ἴσως τούτων, οὗ ἂν ἐπιτυχοῦσα ἐν τῇ διαλύσει λάβοιτο, ὥσπερ τις ναύτης τῆς ὁλκάδος ἐν ναυαγίῳ διαλυθείσης· εἰ δ' ἐν ἑνὶ τῶν στοιχείων τοῦ σώματος μόνον

ἐνέργεια — οὐκ ἔξω τῆς ἀληθείας ἐστὶ τῷ συμπεπλέχθαι τῇ ζωῇ ταύτῃ τὸν θάνατον λέγειν — 6. οὐχ ὁ αὐτός ἐστι τῷ χθιζῷ ὁ σήμερον ἄνθρωπος κατὰ τὸ ὑλικῶς ὑποκείμενον» — περὶ ψυχῆς καὶ ἀν. 249. — πρβλ. Πλάτ. Φαίδ. «σῶμά γ' ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται.» σελ 91, δ. — περὶ ψυχ. καὶ ἀν. 186 γ. Εἰ ἡ ψυχὴ μετὰ θάνατον οὐκ ἔστι, φησὶν ὁ Γρηγ., «Πῶς ἐροῦσι τὴν νοεράν τε καὶ ἄϋλον καὶ ἀειδῆ φύσιν — ἐν τῷ εἶναι συνέχειν τὰ ὄντα —; οὐκοῦν ἐξῃρήσθω καθ' ὅλου τοῦ δόγματος αὐτῶς καὶ αὐτὸ τὸ θεῖον, ᾧ διακρατεῖται τὰ ὄντα·» — αὐτ. 196 δ.

ἐστὶν ἡ ψυχή, μᾶλλον ἂν τις τὴν ψυχὴν θνητὴν ὑπολάβοι διὰ τὸ ἐν τοῖς πλείοσι μὴ εἶναι ἢ ἀθάνατον διὰ τὸ ἐν ἑνὶ μόνῳ ὑπάρχειν. Εἰ δέ τις εἴποι τὴν ψυχὴν ἐν μηδενὶ εἶναι τόπῳ, εὐλόγως ἂν τις εἰκάσειε ταύτην μηδ' εἶναι ὅλως. Καὶ τοιαῦτα μὲν προὔφερεν τῶν τὸν Παῦλον ἐπὶ τὸν Ἄρειον Πάγον ἀχθέντα καὶ τὴν ἀνάστασιν κηρύττοντα χλευαζόντων ὁμόφρονες, οἶμαι, εἰς ὧν τὰς ἀκοὰς ξενίζουσα ἦν ἡ καινὴ τοῦ Παύλου διδασκαλία· τῆς γὰρ ψυχῆς τὸ ἀθάνατον ἤδη παρὰ Πλάτωνος ἔμαθον, οὐ μὴν καὶ τὴν ἀνάστασιν τῆς ψυχῆς ἐν τῷ αὐτῷ σώματι, ἐν ᾧ πρότερον ἐνεργὸς ἐγένετο. Ὁ οὖν Γρηγ. πρὸς ταῦτα καθόλου μέν φησι τὴν ψυχήν, ὥσπερ καὶ τὸν Θεόν, ἀειδοῦς εἶναι φύσεως, καὶ ἐν τῷ θανάτῳ μηδὲν πάσχειν, ἢ ἀπὸ τοῦ φαινομένου τῶν ἐνεργειῶν αὐτῆς εἰς τούτων τὸ ἀειδὲς καὶ ἀφανὲς μεθίστασθαι· δηλοῖ δὲ τοῦτο καὶ καὶ τὸ ἐν πολλῇ τῇ χρήσει ὂν τοῦ ᾅδου ὄνομα, ἐν ᾧ τὰς ψυχὰς μετὰ θάνατον γίνεσθαι λέγεται· δοκεῖ γὰρ τὸν ᾅδην μηδὲν ἕτερον διασημαίνειν, πλὴν τῆς ψυχῆς τὴν εἰς τὸ ἀφανές τε καὶ ἀειδὲς μεταχώρησιν· ὡμολόγηται δὲ (§ 9.) μὴ οἷόν τε εἶναι τὴν ἀσώματον φύσιν τόποις τισὶν ἐγκατέχεσθαι· μόνων γὰρ σωμάτων ἴδιόν ἐστιν ἡ ἐπὶ τόπου θέσις καὶ ἡ συστολὴ καὶ ἡ διάχυσις. Ἐπειδὴ δὲ νοητὴ καὶ ἀσώματος καὶ ἀδιάστατός ἐστι τῆς ψυχῆς, ὥσπερ καὶ τοῦ Θεοῦ, ἡ οὐσία, δῆλον ὅτι καὶ αὕτη οὔτε διαχεῖται, οὔτε συστέλλεται καὶ συσφίγγεται καὶ στενοχωρεῖται, ἀλλ' ὅλη παρεκτεινομένη δι' ὅλων χωρεῖ τῶν στοιχείων καὶ ἐν ἑκάστῳ τούτων ὅλη πάρεστιν εἰκὼν οὖσα τοῦ θείου· «οὐ γάρ, ἐπιφέρει ὁ Γρηγόριος, ἐπειδὴ κατὰ τὴν τοπικὴν

διάστασιν καὶ τὴν ποιὰν ἰδιότητα πόρρωθεν ἀλλήλων ταῦτα νομίζεται, διὰ τοῦτο κάμνει ἡ ἀδιάστατος φύσις τοῖς τοπικῶς διεστηκόσι συναπτομένη· ἐπεὶ καὶ νῦν ἔξεστι τῇ διανοίᾳ ὁμοῦ τε τὸν οὐρανὸν θεωρεῖν καὶ ἐπὶ τὰ πέρατα τοῦ κόσμου ταῖς πολυπραγμοσύναις ἐκτείνεσθαι, καὶ οὐ διασπᾶται πρὸς τοσαῦτα μήκη τὸ θεωρητικὸν τῆς ψυχῆς ἡμῶν διατεινόμενον· οὐκοῦν οὐδὲν ἐμπόδιόν ἐστι τῇ ψυχῇ κατὰ τὸ ἴσον παρεῖναι τοῖς τοῦ σώματος στοιχείοις καὶ συγκεκραμένοις διὰ τῆς συνδρομῆς καὶ ἀπολυομένης διὰ τῆς ἀνακράσεως». Ὥσπερ γὰρ ἐν τῷ ζῶντι σώματι, οὕτω καὶ διαληθέντος τούτου, ἔνεστι τῇ ψυχῇ ἡ φυσικὴ ἰδιότης τοῦ ἐφάπτεσθαι τῇ γνωστικῇ αὐτῆς δυνάμει τοῦ οἰκείου καὶ παραμένειν τούτῳ, «ἕως ἂν εἰς ταὐτὸν πάλιν ἡ τῶν διεστώτων γένηται συνδρομὴ πρὸς τὴν τοῦ διαλυθέντος ἀναστοιχείωσιν, ὅπερ ἀνάστασις κυρίως καὶ ἔστι καὶ λέγεται.» [1])

Σημ. Ὥσπερ ἤδη ἐν § 9. ἐσημειώθη, ὁ Γρηγ. λύσιν τοῦ ζητήματος περὶ τῆς ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ σώματος ἐπαγόμενος, ἐπειδὴ ἀδύνατον ἐδόκει τὴν ἑτερογενῶς πρὸς τὸ σῶμα ἔχουσαν ψυχὴν τῷ σώματι γίνεσθαι συμφυῆ καὶ πάλιν ἑτέραν παρὰ τῷ σῶμα εἶναι, Πλωτίνῳ ἑπόμενος προσγράφει τοῖς νοητοῖς τὴν δύναμιν τοῦ «ἑνοῦσθαι τοῖς δυναμένοις αὐτὰ δέξασθαι, καθάπερ τὰ συνεφθαρμένα καὶ ἡνωμένα, καὶ μένειν ἀσύγχυτα καὶ ἀδιάφθορα ὡς τὰ παρακείμενα (Β. 109. Πλωτ. ἐνν. δ'. 1, 1. 4, 3. 4.)·» τὰς δὲ τῶν ἑλλήνων φιλοσόφων δόξας, καθ' ἃς ἡ ψυχὴ ἔν τινι τοῦ σώματος μέρει ἐστὶν ὡς ἐν τόπῳ, διελέγχων ἀνανεοῖ τοῦ Πλωτίνου τὴν διδασκαλίαν καί φησι τὴν ψυχὴν ἐν ἑκάστῳ

---

(1) Περὶ ψυχ. καὶ ἀν 197 198. 199. 210 213. 214 215.

τῶν μορίων τοῦ σώματος ὅλην παρεῖναι (B. 110. A. 70. 72. 73. 77. 80, 6. 82 γ. δ. Πλωτίνου ἐνν. δ'. 3, 19. «δεῖ τῆς ψυχῆς πανταχοῦ τοῦ σώματος καὶ ὅλῳ παρεῖναι· 9, 1. πανταχοῦ τοῦ σώματος ὅλη πάρεστι· στ'. 4, 1. 5, 2. 4, 4. 9. 12. έ. 1, 2. γ'. 6, 15.). Τὸ δ' αὐτὸ ποιεῖ καὶ ἐνταῦθα τὸν τόπον ἐξηγούμενος, ἐν ᾧ ἡ ψυχὴ *καταχρηστικῶς* μετὰ θάνατον λέγεται μένειν· ἐν γὰρ τοῖς στοιχείοις λέγων τὴν ψυχὴν εἶναι οὐχ ὡς ἐν *τόπῳ* τοῦτο νοεῖ· σώματος γὰρ περιεκτικὸν ὁ τόπος καὶ οὐκ ἀσωμάτου. (A. 82. B. 111. Πλωτ. ἐνν. δ'. 3, 20. περιεκτικὸν γὰρ ὁ τόπος καὶ περιεκτικὸν σώματος —)· ἀλλ' ὡς ἐν σχέσει καὶ τῇ πρός τι ῥοπῇ καὶ διαθέσει· (A. 71. 72. Πλωτ. ἐνν. δ'. 4, 60. έ. 1, 2. ς'. 4, 1—4 5, 22)· ὃ δὴ δῆλον ἐκ τῆς διανοητικῆς ἐνεργείας τῆς ψυχῆς, ἥπερ, ὡς ἐλέχθη, ἐν Ῥώμῃ καὶ ἐν Ἀλεξανδρείᾳ λέγεται εἶναι καὶ ἐπὶ τὰ πέρατα τοῦ κόσμου ἐκτείνεται, οὐχ ὡς ἐν τόπῳ· ἀλλὰ κατὰ σχέσιν. Οὕτω δ' ἔστι νοεῖν καὶ τὰς ψυχὰς τῶν ἐναρέτων καὶ τῶν πονηρῶν, ὧν ἐκείνας μὲν εὐθὺς μετὰ τὴν διάλυσιν τοῦ σώματος ἐν τῷ Θεῷ εἶναι, τὰς δὲ τῶν πονηρῶν νῦν πρῶτον μετ' ἄλγους ἄρχεσθαι ἐν τῷ Θεῷ γίνεσθαι ὁ Γρηγόριος ὑπολαμβάνει· ἔτι δ' εὔληπτον ὁ Γρηγ. ποιεῖται τὸ δυνατὸν τοῦ εἶναι ἐν πᾶσι τὴν ψυχήν, πρὸς τέχνην χρυσοχόου καὶ ζωγράφου καὶ κεραμεύοντος παραβάλλων αὐτήν· οὕτως ἡ τέχνη τοῦ χρυσοχόου χρυσὸν καὶ ἄργυρον συντήκουσα μίγνυσί τε τὰς ὕλας καὶ διαμερίζει, ἀλλ' οὔτε ἀπόλλυται αὕτη, οὔτε συνδιατέμνεται τῇ ὕλῃ ἐν αὐτῇ οὖσα· ὁ δὲ ζωγράφος μίγνυσι διὰ τῆς τέχνης διάφορα χρώματα, διακρίνει τε τῶν μεμιγμένων ἕκαστον καὶ τὴν ἀρχικὴν βαφὴν ἑνὶ ἑκάστῳ ἀποδιδόναι, εἰ βούλεται, οἷός τ' ἐστίν· οὐ γὰρ διὰ τὴν μίξιν τὰ χρώματ' ἀγνοεῖ, ἐν οἷς ὁ τῆς τέχνης ἔνεστι λόγος· σκευῶν δὲ προκειμένων τῷ κεραμεύοντι συντετριμένων καὶ τὸ εἶδος διαφόρων αὐτός τε οἶδε καταλλήλως ἑκάστῳ τὸ ἴδιον προσαρμόζειν καὶ

τῶν κυρίων, εἰ τύχοι, ἕκαστος τὸ ἴδιον γνωρίζει σκεῦος· ἐμμένει δὲ τῇ θεωρίᾳ ταύτῃ ὁ Γρηγ. τὴν ἀνάστασιν ὑπ' ὄψιν ἔχων· οὐ γὰρ μετενσωμάτωσιν ἢ καινοῦ ἀνθρώπου δημιουργίαν, ἀλλὰ τὴν εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν ἀνάστασιν ὁρίζεται· » εἰ δὴ χρὴ τὸν αὐτὸν εἰς ἑαυτὸν ἐπανελθεῖν, δι' ὅλου εἶναι προσήκει τὸν αὐτὸν ἑαυτῷ, πᾶσι τοῖς τῶν στοιχείων μέρεσι τὴν ἐξ ἀρχῆς ἀναλαβόντα φύσιν » Περὶ ψυχ. καὶ ἀν. 214. δ. Συνεργεῖ δὲ τούτῳ τῆς ψυχῆς ἡ γνῶσις τῶν ἰδίων στοιχείων, πρὸς ἃ ἐν σχέσει ἀδιαλείπτῳ ἐστὶν ἡ ψυχὴ (αὐτ. 215—216. A. 116. 117.), καὶ ἡ θεία δύναμις.

§ 14. *Τῆς ἀναστάσεως ὁρισμός, τὸ δυνατὸν αὐτῆς καὶ τὸ σῶμα.*

Ἡ μὲν τοίνυν ψυχὴ ἀθάνατος ὑπάρχει, ὥσπερ καί τινες τῶν ἔξω φιλοσόφων ὡμολόγησαν· ἡ δ' ἀνάστασις ἐν τῇ τῆς ἐκκλησίας ἐννοίᾳ παρὰ μὲν τοῖς ἔξω ἄγνωστος διετέλει· ὁ δὲ Γρηγόριος εἰς τὸ σῶμα ταύτην ἀναφέρει κυρίως καὶ ὁρίζεται ὧδέ πως. «Ἀνάστασις ἐστὶν ἡ πρὸς ἄλληλα συνδρομὴ τῶν ἤδη συνεζευγμένων τῷ σώματι στοιχείων κατὰ τὸν αὐτὸν εἱρμὸν εἰς σύστασιν καὶ ἀδιάλυτον ἕνωσιν τοῦ σώματος ἀπὸ τοῦ ἀειδοῦς καὶ ἐσκεδασμένου εἰς τὸ συνεστὸς καὶ φαινόμενον, καὶ ἡ ἐνοίκησις τῆς ψυχῆς τῷ πρὶν αὐτῆς συνεργῷ πρὸς τελείαν ἐπάνοδον τοῦ ἀρχικοῦ εἴδους τοῦ ἀνθρώπου.» Ἐπειδὴ δ' ὁ τῆς ἀναστάσεως σκοπός ἐστιν ἡ ἀνάκτησις τῆς εἰκόνος καὶ τῶν θείων ἀγαθῶν ἡ μετοχή, ἅπερ ἔσχε τὸ ἀνθρώπινον πρὸ τῆς ἀπορροῆς, ὁ Γρηγ. πρὸς τοῦτον τῆς ἀναστάσεως τὸν τελικὸν σκοπὸν βλέπων εἴωθεν ἀνάστασιν ὀνομάζειν «τὴν εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατά-

στασιν.» (1) Ἀλλὰ τὸ τοιοῦτον εἶδος τῆς τοῦ σώματος ἀναστάσεως οἱ περὶ τῆς ἀθανασίας τῆς ψυχῆς φιλοσοφήσαντες διὰ τὸ ἀδύνατον, οἶμαι, δοκεῖν εἶναι οὐκ ἐδίδαξαν, ἕτερον δ' ἀπεδέξαντο ἀναστάσεως εἶδος, τὴν ἀναβίωσιν τῆς ψυχῆς ἐν ἄλλῳ, παρ' ὃ ἤδη ἐγένετο, σώματι· ἐκάλουν δὲ ταύτην τῆς ψυχῆς τὴν ἀναβίωσιν μετεμψύχωσιν ἢ μετενσωμάτωσιν. Ὁ δὲ Γρ. «καινοῦ ἀνθρώπου δημιουργίαν» (εἰ τύχοι ἡ ψυχὴ πάλιν ἐν ἀνθρώπου σώματι γίνεσθαι) καλῶν τοῦτο, τοσοῦτον μόνον ἐνταῦθα ἀποδέχεσθαι βούλεται, «ὅσον συμφωνοῦντας αὐτοὺς τρόπον τινὰ δεῖξαι τῷ τῆς ἀναστάσεως δόγματι·» πρόδηλος γὰρ ἡ τούτων μαρτυρία τοῦ μὴ ἀπεικὸς εἶναι τὴν ψυχὴν πάλιν ἐν σώματι γίνεσθαι· ἐφεξῆς δ' ἀπὸ τῶν ἐκκλησιαστικῶν ὁρμώμενος δογμάτων ὁ Γρηγόριος πειρᾶται δεῖξαι τό τε δυνατὸν καὶ τὸ ἀναγκαῖον τῆς ἀναστάσεως τοῦ ἰδίου ἑκάστου σώματος· α) μὲν γάρ φησι τὴν γραφὴν ἀξιόπιστον εἶναι. Εἰ δὲ ἀξιόπιστος ἡ γραφή, δῆλον ὅτι καὶ αἱ ἐν αὐτῇ ἀναφερομέναι ἀναστάσεις ἀληθεῖς εἰσιν· εἰ δ' αἱ ἀπὸ μέρους ἀναστάσεις ἀληθεῖς, καὶ αἱ καθόλου ἀληθεῖς ἔσονται· β) τῶν τῆς γραφῆς προφητειῶν αἱ μὲν ἐπληρώθησαν, αἱ δὲ μέλλουσι· ἀλλ' ἡ ἀνάστασις προλέγεται ἐν αὐτῇ· ἡ ἄρα ἀνάστασις μέλλει γενέσθαι· (2) γ) τῶν φαινομένων τῆς φύσεως πολλὰ σύμβολα τῆς ἀναστάσεως τυγχάνει πιστὸν αὐτὴν καὶ δυνατὸν καθιστῶντα· τῶν γὰρ φυτῶν καὶ τῶν ζώων τινὰ ἐν χειμῶνος ὥρᾳ οἷον εἰ νεκρὰ κείμενα αὖθις τὰ αὐτὰ ἀναζῇ, ἀρχομένου τοῦ ἔα-

(1) Γ. 432. 433. λόγ κατ. 72. περὶ ψυχ. καὶ ἀν. 243. 252.

(2) Α. 108. 114. Γ. 426. 429. 432. περὶ ψυχ. καὶ. ἀν. 255.

ρος· ἐπερχομένου δ' ἑκάστοτε δίκην θανάτου τοῦ ὕπνου, ὁ ζῶν ἄνθρωπος ἔοικε τεθνηκότι· ἀλλ' ἀντεπελθούσης τῆς ἐγρηγόρσεως ὁ αὐτὸς πάλιν ἀνίσταται ἄνθρωπος· ἔτι δ' ἕκαστον σίτου σπέρμα ἀπὸ τοῦ στάχεως τὴν ἀρχὴν ἔχει, ὃς τοῦ σπέρματος προγενέστερος τυγχάνει ὤν· ἀλλὰ τὸ σπέρμα εἰς γῆν ῥιπτόμενον οὐ φύεται, ἐὰν μὴ διασαπῇ, καὶ φυὲν αὔξει τε καὶ τὴν ἀρχικὴν λαμβάνον πάλιν μορφὴν λελη-θότως γίνεται στάχυς· οὕτω δὲ καὶ ὁ ἄνθρωπος ἐν τῷ Ἀδὰμ εἷς ἦν στάχυς· οἰκονομικῶς δὲ σπέρμα γενόμενον τὸ ἀνθρώπινον, δέον διὰ τῆς ἀναστάσεως ἕνα στάχυν γί-νεσθαι πάλιν· (1) δ) ἡ μὲν κακία πεπερασμένον, ἡ δὲ προαίρεσις, ἐξ ἧς ἐκείνη, τρεπτόν ἐστι. Ἐπειδὴ τοίνυν τὸ μὴ ὄν, ἡ κακία, οὔτ' ἐκτὸς προαιρέσεως ὑφίσταται, οὔτ' ἐπ' ἄπειρον ἐκτείνεται, ἀνάγκη ταύτῃ στῆναι εἰς τὸ αὐ-τῆς ἀφιχθεῖσῃ πέρας· τούτου γὰρ πέραν οὐκέτι κακία, ὡς οὐδὲ τοῦ σκότους καὶ τῆς σκιᾶς πέραν σκιὰ καὶ σκό-τος ὑπάρχει, ἀλλ' ἥλιος καὶ φῶς· ἔστι δὲ τοῦ τῆς κακίας πέρατος πέραν τὸ ἀγαθόν, οὗ κατὰ στέρησιν ἡ κακία δο-κεῖ εἶναι. Ἀλλ' ἐνταῦθα ἡ προαίρεσις γενομένη στάσιν εὑρήσει, καὶ φύσει ἀεικίνητος οὖσα στῆναι οὐ δύναται· τραπήσεται ἄρα διὰ τὸ τρεπτὴ εἶναι πάντως πρὸς τὸ ἀγα-θόν. Ἀλλ' ἅπαξ ἐν τῷ μὴ διεξοδευομένῳ καὶ ἐπ' ἀόριστον ἐκτεινομένῳ ἀγαθῷ γενομένης τῆς προαιρέσεως καὶ «τῇ μνήμῃ τῶν προδεδυστυχημένων εἰς τὸ μὴ πάλιν ἐναλῶ-ναι τοῖς ἴσοις σωφρονιζομένης», δέον τὴν μὲν κακίαν εἰς τὸ μὴ ὄν, ὅπερ ἐστὶν ἡ κακία κατὰ φύσιν, μεταχωρῆσαι καὶ σὺν ταύτῃ ἀφανισθῆναι τὰ πάθη, τὸν δ' ἰαθέντα ἄν-

(1) Αὐτ. 258. Γ. 426—430. 642.

θρωπον ἀναχτήσασθαι πάλιν τὸ ἀρχικὸν εἶδος, καὶ ἐν αὐτῷ ἀεὶ παραμένειν· γενήσεται δὲ τοῦτο οὐκ ἀνευ σώματος· οὐδὲ γὰρ ἄνευ σώματος τοῦ ἀγαθοῦ ἀπερρύη ὁ ἄνθρωπος· (1) ε) ἡ μόνιμος καὶ ἀμετάθετος τοῦ Θεοῦ ἀγαθότης, δι' ἣν ἐπλάσθη ὁ ἄνθρωπος οὐχ ἵνα φθαρῇ καὶ τελείαν ὑποστῇ τὴν ἀπώλειαν, ἀλλ' ἵνα τῶν αὐτοῦ ἀγαθῶν μετέχῃ, ἀναγκαίαν ποιεῖ τὴν ἀνάστασιν τοῦ αὐτοῦ ἑκάστου σώματος· παραβλάπτεται γάρ, οἶμαι, τοῦ Θεοῦ ἡ ἀγαθότης, εἰ τῶν ἀνθρώπων ἑκάστη ψυχὴ ἄλλῳ σώματι καὶ μὴ τῷ ἰδίῳ αὐτῆς ἐνοικήσει συνεργῷ, ᾧ συμμετέσχε πάντων τῶν ἐν τῇ κατ' αἴσθησιν ζωῇ παθῶν. (2) Ἐγγύτερον δὲ τῆς ἀναστάσεως τὸ δυνατὸν δείκνυσιν ς) τὰ τῇ κατασκευῇ παντὸς σώματος ὑποκείμενα στοιχεῖα, ἃ οἱονεὶ ἀθάνατα μένει· ὅπου γὰρ ἂν ὑπὸ τῆς οἰκείας αὐτῶν ῥοπῆς περιαχθῶσιν, ἐντὸς τοῦ κόσμου πάντως ἐστίν, ὡς τῶν ἰδίων στοιχείων μηδὲν τῶν σωμάτων ἀπορήσειν· ἐπίκειται δὲ τοῖς στοιχείοις ὑπὸ τῆς ψυχῆς ἐναπολειφθέντα σημεῖά τινα, δι' ὧν ἡ τοῖς ἰδιάζουσα διακρινομένη κοινότης ἀσύγχυτος μένει· παρέμεινε δ' ζ) τῇ φυσικῇ τινι σχέσει καὶ στοργῇ πρὸς τὸ ἴδιον σῶμα διακειμένῃ ψυχῇ οἷον ἐκμαγείῳ σφραγίδος τοῦ σώματος τὸ εἶδος, ᾧ ἐπιγινώσκει τε αὖτη τὰ στοιχεῖα, ἅ ποτε τὸν τύπον ἐναπεμάξαντο, καὶ «ἐν τῷ καιρῷ τῆς ἀναστοιχειώσεως ἐκεῖνα δέχεται πάλιν πρὸς ἑαυτήν, ἅπερ ἂν

(1) A 99. 120. 322. 327. 805. 447 495. 279 περὶ ψυχ. καὶ ἀν. 227. 237. λόγ. κατ. 55. Γ. 280. 433. 636. πρβλ. Πλωτ. ἐνν. ά. 8, 1—14. 1, 12.

(2) Γ. 422. 432. λόγ κατ. 60. A. A 106. 116. 118. B. 11.

ἐναρμόσῃ τῷ τύπῳ τοῦ εἴδους· ἐναρμόσειε δὲ πάντως ἐκεῖνα, ὅσα κατ' ἀρχὰς ἐνετυπώθη τῷ εἴδει.» τέλος η) ἡ θεία δύναμις, ἣ ἐν ἀρχῇ τε τὸ πᾶν ἐκ τοῦ μὴ ὄντος παραγαγεῖν καὶ τῷ ἤδη ὄντι τὰς ἰδίας ἐπιβαλεῖν ποιότητας καὶ ἀναστοιχειοῦν οἷα τε· γινώσκει τε γὰρ πᾶν τὸ ἐν τῇ παλάμῃ ὄν, καὶ σοφίας ἐστὶ πηγὴ καὶ συνεργοῦ καὶ συλλήπτορος οὐ χρήζει. Ἐντεῦθεν δὲ συμπεραίνει ὁ Γρηγόριος καὶ πάνυ δυνατὴν τὴν ἀνάστασιν τοῦ αὐτοῦ σώματος εἶναι. Ἐπειδὰν γὰρ δοθῇ ὑπὸ τοῦ Θεοῦ τὸ ἐνδόσιμον, τῇ προνοητικῇ αὐτοῦ δυνάμει ἡ μὲν ψυχὴ ἕλκει τὰ στοιχεῖα πρὸς σύστασιν τοῦ σώματος αὐτῆς· τὰ δὲ στοιχεῖα εἰς τὰ κατάλληλα τοῦ σώματος συντρέχει μέρη ἀνεπιμίκτως, ὥς τις προχεθεῖσα ἐπὶ κονιορτώδους χωρίου καὶ πάλιν συναγειρομένη ὑδράργυρος· γνωρίζουσα δ' ἡ ψυχὴ τὸ ἴδιον σῶμα ἀσφαλῶς αὐτῷ ἐνοικεῖ καὶ οὕτως ἀποκαθίσταται τελεία πάλιν τοῦ σώματος καὶ τῆς ψυχῆς ἡ ἀρχικὴ συμφυία (1)

Καί τοι δ' ὁ Γρηγ. ἐκ τῶν αὐτῶν στοιχείων τὸ αὐτὸ πάλιν ἀνίστασθαι σῶμά φησιν, ἀποφαντικῶς εἰπεῖν, οἷον τὸ σῶμα ἔσται, οὐκ ἔχει· εἰκάζει δὲ τούτου τὰ στοιχεῖα λεπτά τε καὶ ἀερώδη ἔσεσθαι· οὐ γὰρ δοκεῖ συνανίστασθαι οὐδὲ συμπαρέσεσθαι ἐκείνῳ τῷ σώματι τὸ βαρὺ καὶ παχυμερὲς καὶ σὺν τοῖς πάθεσι τὸ ὑλικὸν καὶ ζωῶδες, ἃ ἐκ τῆς πτώσεως τὴν ἀρχὴν ἔσχεν. (2) Ἀλλ', ἀεὶ ἐν ῥύσει καὶ μεταβολῇ ὄντος τοῦ νῦν σώματος, ὁ Γρηγ. διὰ τὰς ἐντεῦθεν ἀμηχανίας τοῦ λόγου οὔ φησι τὸ σῶμα ἐν τῇδε

(1) Γ. 426. περὶ ψυχ. καὶ ἀν. 215—216.

(2) Περὶ ψυχ. καὶ ἀν. 230. 252. 255. Α. 482. Γ. 641.

ἢ τῇδε τῇ ἡλικίᾳ, ἐν τοιᾷδε ἢ τοιᾷδε φυσικῇ καταστάσει ἀνίστασθαι, ἀλλὰ τὸ εἶδος ἀναλαμβάνειν· ἀποδέχεται γὰρ ἐν τῇ τοῦ σώματος ῥοῇ μόνιμόν τι εἶδος, οὗ ἄνευ φησὶν ἄληπτον ἂν ἦν καθόλου τὸ ἡμέτερον τῷ μηδεμίαν ϛάσιν ἔχειν ἐκ φύσεως· «ἀλλοιοῦται μὲν γὰρ δι' αὐξήσεώς τε καὶ μειώσεως τὸ σῶμα, οἷον ἱμάτιά τινα τὰς καθεξῆς ἡλικίας μεντεδυόμενον· ἔστηκε δὲ διὰ πάσης τροπῆς ἀμετάβλητον ἐφ' ἑαυτοῦ τὸ εἶδος τῶν ἅπαξ ἐπιβληθέντων αὐτῷ παρὰ τῆς φύσεως σημείων οὐκ ἐξιστάμενον, ἀλλὰ πάσαις ταῖς κατὰ τὸ σῶμα τροπαῖς μετὰ τῶν ἰδίων ἐμφαινόμενον γνωρισμάτων τὸ μόνιμόν τε καὶ ὡσαύτως ἔχον ἐν τῷ καθ' ἡμᾶς συγκρίματι τούτῳ προσφύεται·» (1) ἀλλ' ἐπεὶ τὸ εἶδος (χαρακτὴρ) οὐ ταὐτὸν ἀεὶ μένει ὑπὸ τῶν ἡλικιῶν καὶ τῶν παθημάτων ἄλλοτε πρὸς ἄλλο μεταλλασσόμενον εἶδος, ὁ Γρηγ. ἀντεπεισάγεται τούτου ἕτερον εἶδος, τὸ ἐκ τῶν ἠθῶν, ὅπερ καὶ προτιμᾷ· ὑπονοεῖ γὰρ μᾶλλον τὰς ποιὰς τῶν ἠθῶν ἰδιότητας, ἀρετὰς ἢ κακίας, ἐν τῇ ἀναστάσει τοῦ σώματος τὴν μορφὴν εἰδοποιεῖν μέλλειν. (2) Καὶ τούτου δ' ἀντιλογίας ἐπιδεχομένου, καὶ τῆς διανοίας οὐ προχείρως ὑπονοούσης, εἰ οὕτως ἢ ἑτέρως τὸ σῶμα ἀναστοιχειωθήσεται, ὁ Γρηγ. τὴν μὲν ἀνάστασιν δυνατὴν καὶ ἀναγκαίαν εἶναι πιϛεύει· περὶ δὲ τοῦ σώματος, οἷον ἐν τῇ ἀναστάσει ἔσται, καλεῖ ἀσφαλῆ διδάσκαλον τὴν πεῖραν, τὴν ἐξ αὐτῆς τῆς ἀναστάσεως, ἥπερ «πάντα λογισμὸν στοχαστικῶς τῆς μελ-

---

(1) Περὶ ψυχ. καὶ ἀν. 230. 252, 255. Α. 482 Γ. 640.

(2) Α. 147. Γ. 641.

λούσης καταστάσεως ἐφαπτόμενον ἀντ' οὐδενὸς ἀποδείκνυσιν» (1).

§ 15. *Ἀνάστασις, κρίσις καὶ ἀποκατάστασις.*

Ὁ Γρηγόριος, ἐχόμενος τῆς θεωρίας, καθ' ἣν ἡ ψυχὴ μία ἐστὶν οὐσία ἐν τῷ Ἀδὰμ κατὰ συμβεβηκὸς περιορισθεῖσα, εἰκάζει τὴν ἀνάστασιν τότε γενήσεσθαι, ὅταν ὁ πληστηριασμὸς τῶν ψυχῶν ἐκ τῆς μιᾶς οὐσίας εἰς πέρας ἐλθὼν παύσηται· παύσεται δ' ὁ πληστηριασμός, ὅταν συμπληρωθῇ ὁ προγνωσθεὶς ὑπὸ τοῦ Θεοῦ ἀριθμὸς τῶν ψυχῶν καὶ μηδὲν λείπῃ εἰς ἐξαύξησιν. Τότε τῶν σωμάτων ὑπὸ τοῦ ἐξαποστελλομένου θείου πνεύματος τὸ ἐνδόσιμον λαβόντων, κατὰ Γρηγ., τὰ μὲν ἤδη διὰ τοῦ θανάτου διακεκριμένα ἀναστοιχειοῦται· τὰ δ' ἔτι ζῶντα ἀλλοιοῦται, ἵνα ὥσπερ ἐκεῖνα διὰ τοῦ θανάτου, οὕτω ταῦτα διὰ τῆς ἀλλοιώσεως ἀμιγῆ γένηται πάσης τῆς κατὰ κακίαν ἐπιμιξίας, καὶ οἷά τε ἦ μετάρσια δι' ἀέρος φοιτᾷν. (2) Ἐπακολουθήσει δὲ τούτοις ἡ δικαία τοῦ Θεοῦ κρίσις καὶ ἀντίδοσις. Οἱ μὲν γὰρ ἐν ἀρετῇ τὸν κατ' αἴσθησιν διαπλεύσαντες βίον καὶ τὰ νήπια (ἃ διὰ τὸν προώρως ἐπισυμβάντα αὐτοῖς θάνατον, ἐν μεθορίῳ κακίας καὶ ἀρετῆς ἐγένετο μηδετέρου πεῖραν λαβόντα) ῥᾳδίως ὑπὸ τῆς τὸ ἴδιον ἑλκούσης θείας φύσεως ἑλκόμενοι μετοικίζονταί τε εὐθὺς εἰς τὴν ἄνω λῆξιν καὶ ἀναλόγως τῇ οἰκείᾳ δυνάμει ἕκαστος μετέχουσι τῶν θείων ἀγαθῶν, ἐν οἷς κατὰ πρόο-

(1) Γ. 641. 642. περὶ ψυχ καὶ ἀν. 252.

(2) Περὶ ψυχ καὶ ἀν. 243 214 λόγ κατ. 99 A 102. 103.

δον ἐπαυξάνουσιν, ἀεὶ τοῦ πλείονος μέτοχοι γινόμενοι.(1) Πάσης δ' ὕλης κακίας τῷ θανάτῳ στερηθέντες οἱ κακοὶ ὁμοίως μὲν τοῖς ἀγαθοῖς ἕλκονται ὑπὸ τῆς τὸ οἰκεῖόν τε καὶ συγγενὲς ἀντιποιουμένης καὶ ἑλκούσης πρὸς ἑαυτὴν θείας δυνάμεως, ἀλλὰ διὰ τὸ βαρὺ καὶ κατωφερὲς τῆς διανοίας αὐτῶν μόλις ἀμυδρῶς πως τῶν θείων ἀγαθῶν μετέχειν ἄρχονται, καὶ τοῦτο μετ' ἄλγους. Ἐπειδὴ γὰρ τῶν δοκούντων ἀγαθῶν ἡ δυσαποσπάστως ἔχουσα τούτων συμφυία, ἐν ᾗ τὸν βίον διήγαγον, διατελεῖ ἔτι ἐγκεχαραγμένη τῇ μνήμῃ, τῇ εἰς αἰσχύνην ἐπὶ τοῖς πεπραγμένοις φερούσῃ, ἐπισυμβαίνει αὐτοῖς, καθάπερ τοῖς τοὺς ὀφθαλμοὺς πάσχουσιν, εἰ τὸ φῶς τοῦ ἡλίου ὁρᾶν βούλονται, κατ' ἀνάγκην ἀλγεινή τις διάθεσις· διὸ ἵν' ἀπόνως καὶ οὗτοι τῶν θείων μετέχωσιν ἀγαθῶν, δέονται καθάρσεως ἀπὸ τῆς κακίας διὰ τοῦ καθαρτηρίου πυρός. Ὥσπερ δὲ τῶν ἀγαθῶν ἡ μετοχή, οὕτω καὶ τῶν κακῶν ἡ κάθαρσις τῇ κακίᾳ ἀνάλογός ἐστι, παρά τισιν εἰς μακρὰς περιόδους καὶ αἰῶνας παρατεινομένη(2).

ΣΗΜ. Τὸ ἐν πολλῇ τῇ χρήσει ὂν τοῦ Γρηγορίου πῦρ, δι' οὗ τῆς κακίας ὁ καθαρισμὸς καὶ τῆς νόσου ἡ ἰατρεία τοῖς ἁμαρτωλοῖς γίνεται, οὐκ ἔστιν ὑλικῶς ἐννοεῖν· παντὸς γὰρ τοῦ ὑλικοῦ καὶ ζωώδους διὰ τοῦ θανάτου ἀφανισθέντος, ἐν τῇ τῶν σωμάτων ἀναστοιχειώσει πῦρ οὐχ ὑπάρξει, τὸ τῶν ἁμαρτωλῶν σῶμα τῆς κακίας ἐκκαθαῖρον ὥσπερ τὸν σίδηρον τοῦ ἰοῦ· ἀλλ' ὥσπερ τῶν διηγημάτων πολλὰ ἡ γραφὴ σωματικώτερον ἐκτί-

---

(1) Α. 369. 809. 810. Γ. 343. 319. 333. 304. 329. περὶ ψυχ. καὶ ἀν. 219.

(2) Αὐτ. 227.

θησιν, ἄλλο τι λεπτότερον τοῖς ἐξεταστικῶς ἐπαΐουσι νοεῖν διδοῦσα (περὶ ψυχ. καὶ ἀν. 216), οὕτω καὶ ὁ Γρηγ. σωματικῶς τῆς κακίας τὴν κάθαρσιν παριστῶν τῷ πυρὶ ταύτην γίνεσθαι λέγει καὶ καθαρτήριον τοῦτο προσονομάζει (αὐτ. 259. 209. B. 12. Γ. 322. 633. 343). Τοιοῦτον δὲ πῦρ Γρηγορίῳ δοκεῖ εἶναι α)τὸν Θεὸν καθόλου· ὃς «πῦρ καταναλίσκον ἐστίν, ᾧ ἐναφανίζεται πᾶσα κακίας ὕλη· πρὸς Εὐν. 586.» β) τοῦ Θεοῦ τὴν ἔλξιν, ἣ «ἐπὶ τῷ κρείττονι σκοπῷ (τῆς καθάρσεως καὶ τῆς μετοχῆς τῶν ἀγαθῶν) πρὸς ἑαυτὸν τὴν ψυχὴν ἐπισπᾶται, ἐπισυμβαίνει δὲ κατ' ἀνάγκην ἡ ἀλγεινὴ διάθεσις τῷ ἑλκομένῳ· περὶ ψυχ. καὶ ἀν. 226.» γ) τὸν προσεγγυσμὸν τῆς θείας δυνάμεως, ὃς «πυρὸς δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος εὐεργετεῖ τῇ καθάρσει τὴν φύσιν· λόγ. κατ. 85, α.» Ἀλγεινὴν δὲ προξενεῖ διάθεσιν τοῖς κακοῖς δ) τῶν φαινομένων ἀγαθῶν ἡ στέρησις, ἣ «φλὸξ γίνεται τὴν ψυχὴν διασμύχουσα· περὶ ψυχ. καὶ ἀν. 219.» ε) ἡ πονηρὰ συνείδησις, ὑφ' ἧς οἱ κακοὶ «εἰς τὸ σκηθρωπὸν ἐκεῖνο σκότος ὥσπερ ὑπό τινος δημίου ἕλκονται. A. 809.» ς) ἡ μνήμη τῶν κακῶς πεπραγμένων καὶ ἡ αἰσχύνη. A. 370. ἔπιθι λόγ. κατ. 109. 110.

Οἱ τοίνυν ἀγαθοὶ ἐν τῇ ἄνω λήξει μετέχουσι τῶν ἀγαθῶν· ἀλλὰ τοῦ Θεοῦ περὶ τῶν κακῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς τῶν ἀγαθῶν τελειωθῶσιν, οὐ τελείως ἀποκαθίστανται· διὸ καὶ τῶν πονηρῶν τὴν ἀπὸ τῶν ἀλγεινῶν ἀπαλλαγὴν διὰ τῶν δεήσεων αὐτῶν ἐπισπεύδουσιν οἱ ἐνάρετοι. (1) Δίκαιος δ' ὢν ὁ Θεὸς παρατείνει ταύτην κατ' ἀνάλογον τῇ κακίᾳ ἑκάστου λόγον, «ὡς ἂν μηδὲν ἴχνος τῇ καρδίᾳ διὰ τῆς ἡδονῆς ἐγγινόμενον ὑπολειφθείη, τῆς ἀλγεινῆς ταύτης καὶ δριμείας αἰσθήσεως πάντας

(1) A. 498.—

τοὺς καθ' ἡδονὴν ἐγγινομένους τῇ ψυχῇ τύπους ἐξαλειφούσης Α. 835· » μεθ' ὃ προσφέρει διὰ τῶν εὐαρέτων τοῖς ἀφαγνισθεῖσι δῶρον τὴν ἄφεσιν τῶν παραπτωμάτων, τῶν κακῶν τὴν ἀμνηστίαν, τῆς ἁμαρτίας τὴν καθαίρεσιν· καὶ τὴν τῆς φύσεως μεταστοιχείωσιν (Β. 476.) οὕτω δὲ πάντες τὴν οἰκοδομὴν τοῦ ἑνὸς τοῦ Χριστοῦ σώματος συναπαρτίσαντες καὶ αὐτῷ ὑποταγέντες μίαν ἀναλαμβάνουσι μορφήν, τὴν ἀρχικῶς ἐπιβληθεῖσαν τῇ φύσει, ἐν ᾗ πάλιν «εἰσελεύσεται ἡ ἀφθαρσία, ἡ ζωή, ἡ τιμή, ἡ χάρις, ἡ δόξα καὶ εἴ τι ἄλλο αὐτῷ τε τῷ Θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν καὶ τῇ εἰκόνι αὐτοῦ, ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις. (1) Τότε δὲ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων ἡ φύσις κοινὸν ἄσει τῷ Θεῷ ὕμνον εὐχαριστίας διὰ παντός· καὶ τοῦ Χριστοῦ, τοῦ νέου Ἀδάμ, τῷ Θεῷ συσσώμως ὑποταγέντος ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. (2) Ἐπειδὴ δὲ οὐ μικρὸν τῇ ἀνθρωπίνῃ φύσει φυλακτήριον τῶν θείων ἀγαθῶν γίνεται ὁ φόβος, ἡ γνῶσις καὶ τῶν πεπειραμένων ἡ ἀνάμνησις, τούτοις σωφρονιζόμενον τὸ ἀνθρώπινον οὐκέτι στερηθήσεται δι' ἀπορροῆς τῶν ἀγαθῶν, ἀλλ' ἅπαξ ἐν τῷ Θεῷ γενόμενον ἐντρυφήσει αὐτῷ εἰς τὸν αἰῶνα (3).

---

(1) Β. 14—15. Α. 280 – 290. περὶ ψυχῆς καὶ ἀν. 260. 228. 255.

(2) Α. 290. Β. 14. 479. 14. 15.

(3) Α. 709. 710. 286. 707. 269. 498. 305. 96, δ. 148 δ. 711. Β. 12 γ. 14 γδ. Γ. 331. 6. 622.

Τυπογραφεῖον «Η ΜΑΚΕΔΟΝΙΑ» Ν. Βαγιαμαλῆ καὶ Σ. Βασιλειάδη, ἐν Θεσσαλονίκῃ